Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0001

Zur
Gräfl. vom Hagen'schen
Majorats-Bibliothek

MÖCKERN
gehörig.
№ 5068

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0002

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0003

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0004

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0005

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0006

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0007

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0008

# ΚΑΤΗΧΗ-ΣΙΣ ΛΟΥΘΗΡΟΥ Η ΜΙΚΡΑ.

*Paruus Catechiſmus Lutheri,*
*Carmine græco heroico redditus.*

Item,

Odæ quædam ſiue Cantiones germanicæ Lutheri, & aliorum quorundam piorum virorum, eodem genere carminis expoſitæ.

Omnia elaborata in Schola Ilfeldenſi, à Ioanne Martino Sorauienſi.

*FRANCOFORDIAE AD MO.*
*excudebat Ioannes VVolfius: Ann.*
*M.D.LXXIII*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0009

i

L 43

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0010

# NOBILITATE GENERIS, SPLENDORE FAMILIAE, PIETATE, DOCTRINA & virtutibus præstantissimis viris, D. Heinrico ab Assenburg, & D. Andreæ à Meiendorf, Dominis suis clementissimis & submisso debitæ obedientiæ obsequio colendis, S. D.

*NOn casu ex atomis mundum, sed Mente creatũ*
*Hunc pulchrum gentes à Sapiente vident.*
*Nam radios homini diuinæ in pectora lucis*
*Conditor infudit, notitiasq; Deus.*
*Sed tantum formant, vt sint sine crimine mores,*
*Atq; Deos vana relligione colunt.*
*Nec de venturo quondam prolata prophetis*
*Semine fatidicis, dogmata sancta tenent.*
*Non stolidi carnalis enim sapientia mundi*
*Percipit ingenio munera tanta suo,*
*Sed tenebris hic cæca velut submersa profundis*
*Palpitat, & dubium carpere nescit iter.*
*Nos quibus augusto nunc lumine Gratia fulget,*
*Atq; patent verbo cœlica regna Dei.*
*Aeterni patris quæ sit veneranda voluntas*
*Nouimus, atq; coli qua ratione velit.*



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0011

Nam ſunt tanta ſacris myſteria tradita libris:
Non Plato gentili dictitat illa ſchola.
Explicat hæc patriæ lux, atq; propheta Lutherus,
Continet hic paruus qua breuitate liber.
In quo ſunt geminis primùm præcepta tabellis
Quod diuina ſacrum Dextera ſcripſit opus.
Deinde & Apoſtolicæ fidei monumenta, triumphat
In quibus Agne ſacer plebs tua ſancta, Dei:
Et pater æternus qua ſit ratione vocandus,
Vt ſua quas petimus dextera promat opes.
Sacramenta etiam Chriſti ſunt addita verbis,
Vt firment fragilem pignora certa fidem.
Sordibus abluimur culpæ, cum corpora Myſtes
In Triados ſacræ nomine tingit aquæ.
Accipio Chriſti corpus, verumq; cruorem
Ore, ſub exiguo pane meroq; meo.
Hæc capita æternam ſitienti corde ſalutem,
Mente pia ſemper ſunt reputanda viro.
Hectora ſi cæſum Graiis heroa ſagittis
Atq; Ithaci legimus fata doloſq; ducis.
Et teritur cantans celeberrima nomina regum
Pindarus aſſidua nocte dieq; manu.
Blandaq; Phocilidis ſi carmina, ſiq; Theognis,
Et Samij vatis dulce poëma placet.
Iſta magis vigili diſcenda eſt pagina cura,
Sydera qua monſtrans ſint adeunda via.
Pagina parua quidem, ſed res non parua, libello
Hoc Sophiæ ſacro fons fluit vber aquis.

Hinc

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0012

Hinc vtinam sanos haurirent sæpè liquores,
Christicolæ quibus est tradita cura gregis.
Non tua Christe ratis ventis peteretur iniquis,
Pressaq; tot gemeret nunc miseranda malis.
Biblia nam varijs quæ tradunt sacra libellis:
Vix tribus in chartis scripta Luthere doces.
Hæretici stygia sed nunc agitante Megæra,
Quanta tuo faciunt vulnera Christe gregi:
Nam subiens horum peruersa Sophistica mentes
Imbuit, & tumida relligione replet.
Vt cerebro dictante suo, ratione q; cæca,
(Hoc nam pestifero virus ab angue petunt)
In Labyrinthiacos errores, regnaq; diri
Sponte sua Sathanæ non redeunda, cadant:
Dum sibi fallaci quæ fingunt somnia mente,
Ætherei vocem numinis esse putant,
Et penitus sine honore iacet neglectaq; parui
Cura Catechismi sancte Luthere tui.
Hinc quot habet cœlum stellas, tot monstra per orbem
Sectarum hæc ætas ambitiosa parit.
Propterea mira quod opus pius arte Lutherus,
Teutonicis sacrum condidit antè suis,
Nunc edo in numeros, sed Graia voce, redactum,
Gratificans doctis hac ratione scholis.
Materno velut vt bibat hinc cum lacte iuuentus,
Quas stillant vitæ Biblia fontis aquas.
Ex hoc quæ tradunt examinet Indice, verbo
Qui pascunt animas dogmata Christe tuo.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0013

Sed quo Tyndaridæ latitantia tempore fratres
Ora iterum tollunt mane videnda vadis,
Conditur & radijs æstiui cauda Leonis,
Per cœlum niueis Solis euntis equis
Æstus erat, mediusq; dies, meditabar in vmbra,
Hoc mea cui paruum Musa dicaret opus.
Ecce Thalia venit lauro redimita capillos,
Tali sollicitum pectore voce leuans.
Quæ noua cura tenet mentem? quid? desine vates,
Affulgent votis sydera fausta tuis.
Terra tibi gelidum cultissima respicit axem,
Saxones hanc habitant Martia corda viri.
Hospitium gratum Christo, Christiq; ministris,
Qui pia verba docent intemerata Dei.
Sunt ibi præclaris atauis & origine nati
Illustri stirpis nobilitate viri.
Quos etiam Sophiæ studijs traducere vitam,
Pieridumq; iuuat prospera castra sequi.
Hi prompti pandunt augustas vatibus ædes,
Laude quibus curæ gloria digna Dei est.
Ad quos Argolica resonantia carmina lingua
Mitte, tuum munus qui venerentur erunt.
Stirps igitur Musas promptè generosa sequenti,
Pietas, patulas pande benigna fores.
Et munus placida quod mittimus excipe mente,
Quale parùm cultus noster agellus habet.
Non Veneris flammas, non Martia castra, profanos
Non canimus diuos Ethnica turba tuos.

Condita

Condita Teutonica sed quondam dogmata lingua,
In vinctos canimus sacra coacta pedes.
Attica non tinxit mea carmina Musa lepore,
Nec (fateor) succis Trinacris Hybla suis:
Est spectanda tamen mea mens, & amica voluntas,
Quæ cupit ingenijs consuluisse bonis.
Non ita gemma micans collo, non aurea torques,
Palláue formosa corpore Coa nitet:
Quàm pietatis amor veræ, rebusq; fouere
Artibus ingenuis pectora culta suis.
Nã quid opes mundi? quid honos? sine mente Deoq;?
Fœlix qui Musas cum pietate fouet.
Si me non sanctis sors retrahet inuida cœptis,
Tentantem Aonidum signa secunda sequi,
Nostra sed optatas attinget nauis arenas,
Et cedent votis numina prompta meis:
Tunc quæ Tharsensis me sacra volumina Pauli
Heroo iussit Musa ligare pede,
His qui Pieridum cultis operantur in hortis,
Talibus & tradam scripta legenda typis.
Quod super est, flatu vestris fortuna secundo
Aspiret lætam prospera rebus opem,
Vestraq; prompta Deo pateat, Christiq; ministris,
Semper & augusta pace fruatur humus.

Epistolæ Pauli ad Romanos & Galat. Episto. itẽ Ioan. Euangelistæ græca paraphrasi reddite et expositæ.

Vestræ Clementiæ
addictiss.

M. Ioannes Martinus Soraviensis.

# AD CLARISSIMVM ET DOCTISSIMVM VIRVM MICHAELEM NEANdrum Præceptorem suum summa obseruantia colendum Ioannis Martini Srauiensis Elegia.

*GRatia cœlesti sæpè est referenda Parenti,*
*Atq; suus merita laude ferendus honos.*
*Cuius in immensum varias clementia mundũ*
*Effudit nutu diuite mitis opes.*
*Ex queîs maiestas, & dia potentia nobis*
*Emicat, & mentes in pia vota trahit.*
*Ingenuas artes quas inter nobile vitæ*
*Præsidium, donum quis negat esse Dei?*
*Quæritur his stolido sed tantum gloria mundo,*
*Vt laudem à sera posteritate ferat.*
*Transigit at studij cunctos malè sedulus annos,*
*Cui mens hanc metam, quam meditetur, habet.*
*Errat & ignota velut in regione viator*
*Incertum dubio qui pede carpit iter:*
*Qui colit ingenuas vt Christo seruiat artes*
*Irritus in vita non labor huius erit.*

Condi-

Condidit hoc etenim mortales fine Creator,
Pectoraq; his varijs artibus apta dedit.
Sic quoq; te studijs totam consumere vitam,
Hoc præsens monstrat clare Neander opus.
Nulla tibi doctis captatur gloria scriptis,
Sed tua sors Christi seruit vbique gregi.
Non cura officij, tua nec graue culta Neander
Arte laboriferi pectora lassat onus.
Sedulus euoluis veterum tot scripta Sophorum,
Condis & ingenij tot monumenta libros.
Et tibi commissam mysteria docta Cateruam
Pieridum, multa dexteritate doces.
Vt subeat nostram sæpè admiratio mentem,
Cum reputo officij pondera tanta tui.
Est aliquid fatale datum tibi docte Neander,
Sedibus æthereis dos tibi tanta venit.
Ipse quoque acceptum refero tibi, pectora quicquid
Exculti linguis nostra vigoris habent.
Te primo doctore mihi monstrante voluptas,
Graia fuit numeris nectere verba suis.
Vberiore mihi fluxerunt carmina vena,
Teq; hortante fuit dulcius illud onus.
Crescit enim stimulis discendi nobilis ardor,
Si tamen horteris cui prius ardor erat.
Viue diu germen Musarum nobile fœlix,
Sisq; decus vestræ præsidiumq; scholæ.

# IN LVTHERVM VIRVM DEI ET PROPHEtam Germaniæ & obitum

## EIVSDEM, LAVRENTII RHOdemanni Saxvverfensis, Δωριστί.

Πιερίδες, νύμφαι τε θεαὶ καλυκώπιδες ἁγναί,
Ταὶ ῥὰ νάπας, ποταμώς τε καὶ ἄλσεα πυκνὰ φιλεῖτε,
μυρόμεναι στοναχεῖτε, γόων δ' ἐξάρχετε πρᾶτον.
Ἀνέρα μοὶ κλαίοιτε θεόκελτον, ὅς κάμε πολλά,
μυρία δ' αὖ τέτλακε διὰ κλέος οὐρανόπαιδος,
Λυθᾶρον, χριστοῖο τὸν ἱμερόεντα προφήταν,
ὅς κνέφας ἀδυφαεῖ φθισίμβροτον ἤλασεν αὐγᾷ
Ἀντολιὰν δ' ἤνοιγε, φαέσφορος οἷά τις ἀστὴρ
Ἀντέλλων φλογερῇσι μετὰ σκότος ἀκτίνεσσιν,
ἐκ δ' ἐκάλεσσε φάος σωσίμβροτον εὐσεβείας.
ἔκτανε δ' Αὐσόνιον λύκον, ὡς φθόρος ἔπλετο Μάλων,
πολλὰς δ' ἰφθίμους ψυχὰς ἀίδι προΐαψε,
ψεῦδε' ἐρῶν ἐτύμοισιν ὁμοίϊα, λυγρὰ παρασχών
φάρμακ', ἀλάθειάν τε λεωσσόον ἀχλύϊ κρύψας
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.

Νῦν

Νῦν δ' οὗτος γεραροῖς τε νομεὺς τέθνακεν ἄριστος,
ὃς Ῥώμαν ἀπέπαυσεν ἀγνοείας τε καὶ ὄλβου
καινόμενος Παππᾶν κακομηδέα. σὺν γὰρ λαῶν
χριστοφίλοις τ' οἴεσσιν ἐλεύθερον ἆμαρ ὄπασσε
τῆνον γὰρ Παππᾶν, μελέοις δείλαμα βροτοῖσι,
Τισιφόνα γενέτειρα τέκε, στυγὸς ἀμφὶ ῥεέθροις
σπέρμα κακὸν πλουτῆος, ἀμειδάριο τυράννω.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
Νῦν μύρεσθε νομεῖς, λιγυρώτατος ᾤχετ' ἀοιδῶν
ᾤχετ' ἀοιδότατος, πασέων ὀχεταγὸς ἀοιδᾶν.
παντοίας πηγὰ διδαχᾶς, θεόμαντις ἀλαθής.
σιγάθη χριστοῖο φίλον στόμα, κοὐκέτι μέλπει
ἁρμονίας κιθάρα θεοδέγμονος, οὐκέτι θέλγει
ἀμβρίων ψυχὰς τελιγαθέας, ἀλλὸ πέπαυται.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
Θευλογίης μέγα κῦδος ἀπώλετο ζωοδοτείρας.
Εὐσεβίας φωστὴρ θεοφεγγέος ἀγλαὸς ἔσβα,
ἔσβα, μηκέθ' ἵησι φερεζώοις ἀμαρυγάς.
αἲ αἴ ὡς τάχα φλὸξ τερψίμβροτος ἐξεμαράνθα,
ἃ νόον εἰς μερόπων νωθρῶς σπινθῆρας ἴηλεν
Ἔνδοθεν εἰλυφόωντας, ἔγειρε τε θερμὸν ἔρωτα
ζωᾶς ἀφθάρτοιο, θεῶ μετὰ πνεύματος ὁρμᾷ.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
ποῖ μοι πᾶσι τεθαλὸν ἔβα κάρα, πᾶσι φιλατὸν
ὑμνητὰς μακάρων γλυκερόθροος, ἔξοχον ἀνδρῶν

ὄμμα

ὄμμα θεοφραστέων, μυσᾶν κλέος, ἕρμα τε μάνδρας.
φρουρός τ' ἐσθλομέριμνος, ἀεὶ φρεσὶν αἴσιμα εἰδώς·
φεῦ φεῦ, ὡς οὐκ ἔστι πεπρωμένον ἐξαλέασθαι
οὐδ' ὀλίγον, θνατοῖσιν ἐπὶ χθονὶ σῖτον ἔδουσι.
πάντες ἐπὶ ξυνὰν ὁδὸν ἐρχόμεθ' οἱ χόος ἔσμεν
πλάσμα μινυνθάδιον, βιότω δ' ὅρον οὐκ ἐσορῶμες.
οὐ κράτος οὔτ' ἀρετὰ πολυκρατος. οὔτε τις ὄλβος
Ἀμβολίαν μοιρᾶν ποιεῖ τινὰ, πᾶσι θανέεσθαι
προσκεῖται μερόπεσσιν, ὁμῶς ἀγαθοῖς τε κακοῖς τε
ὡς ὅγε, καίπερ ἐὼν ἔργοις τε λόγοις τε φέριστος
ἀνδρῶν, τὼς τρέφε γαῖα, θεῷ τ' ἄγχιστα ἐοικὼς,
οὐ βέλος ἐξαλέεινε ταναλεπέος θανάτοιο.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
τῆνον τὸν μακάρεσσι φιλαίτατον ἅρπασε μοῖρα
χρυσογόνοις τ' ἀπέλασσεν ἐράσμιον, ἅρπασεν, αἲ αἲ
τὸν σοφὸν ἐν μύθοισι, καὶ ἐν καμάτοισιν ἄοκνον
καρτερὸν ἐν πολέμοισι, καὶ ἄλκιμον ἶφι μάχεσθαι
Ἀντιβίοις χριστοῖο, τὸν ἐν μελέτῃσιν ἄγρυπνον.
Ἐν βιότῳ φιλόκαλον, ἀκήρατον, αἰὲν ἄμωμον,
σώφρον', ἐν εὐχωλαῖς θεοπειθέα, πίστει λαμπρόν.
Ἐν δ' ἄρα κινδύνοισιν ἀταρβέα, δεῖγμα τέλειον
ἀνερέας, σοφίας τε, θεοστεφέων τ' ἀρετάων.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
οὐκ ἔθ' οὗτος ἀνὴρ οὐκ ἔσσεται, οἷος ἐκεῖνος,
θειογόνοις βουλαῖσι καὶ ἔργμασιν ἔξοχ' ἄριστος

μοῦνος

μοῦνος ἔην λαῶν μέγ' ὑπείροχος ἀχέτα ποιμὰν
Αἰὲν ὑπὸ πραπίδεσσι θεόσυλα μήδεα νωμῶν.
ὑψιβόας στέντωρ ξιάλος μέτα κοιρανεούσης.
ἡρακλῆς ἐν ἀγῶσιν, ἐν ὑσμίνῃσιν ἀχιλλεὺς
Ἕκτωρ ἐν προμάχοισιν. ἐν ἄστρασι φωσφόρος ἄλλος,
Ἐν δὲ φυτοῖσι ῥόδον, γλυκὺς ἐν λάεσσιν ἴασπις
κύκνος ἐν ὀρνίθεσσιν, ἐν ἀνδράσιν, ἄγγελος ἀγνὸς.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
τῶ μὲν ἀτὰρ γλώσσας βρονταὶ πηκτᾶρας ἴαλλον
εἰς φρένας, ἄνθρωποι δὲ πεθαπότα θυμὸν ἔχοντες
ῥηϊδίως, πείθοντο θεῷ μεγάλῃσιν ἐφετμαῖς.
οἰκτρόσυναν δ' ἔκφρασε θεῷ φρενοθελγέϊ φωνᾷ
ὡς θνατοῖς ἐτέτυκτο βίω νεοτερπέος ἀρχά,
ὡς οὐδὲν σθένος ἐστὶν ἐν οὐτιδανοῖσι μέλεσσι
καὶ πραπίδεσσι βροτῶν, μούνα δ' ἄρα πίστις ὁδαγεῖ
εἰς βίον ἀστυφέλικτον, ἄτερ θεομιστέος ἔργου.
Ἔργα γὰρ ἀνθρώπεια πυρᾶς ἀνιάξι' ἀπαύστου,
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
τοῖα μὲν ἐξεβόασε θεῷ πολυφίλτατος ἀνὴρ.
λαοσόοις στομάτεσσι, βοὰ δ' εἰς πείρατα γαίης
Αχέτος ἐξεπέρασε καὶ οὐκ ἀποφώλιος ἦεν.
πλεῖστον γὰρ κέρδηνε θεῷ κοσμάτορι πάντων
λαὸν, ὑπὲρ νεφέων πεφορημένον ἔμφρονι ῥιπᾷ
πίστεος, ἐνναετᾶν δ' ὠθιδευέα πλῆσεν ὄλυμπον,
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.

Εἰσιδεν,

Εἰσὶ δὲ, εἰσήκουσε δυσώνυμος ἀντίχριστος.
ὡς δ' ἴδεν, ὡς ἤκουσε δεδηγμένος ἦτορ ἀνίᾳ
εἰς μανίαν ἐτράπη, λελιημένος αὐτὶ μάχεσθαι
οὗτος γὰρ μακάρεσσιν ὁμοιωθήμεναι αὐτοῖς
ἤθελεν αὐτογενέσσι, γέρας τιμάν τε, καὶ αὐδῶ,
καὶ κλέος, οὔτε λέγειν ᾔσχυνεν, δῶρον ὀλύμπου
ὠνεῖσθαι χρυσῷ τε καὶ ἀργύρῳ, ἠδὲ καὶ ἔργων
ἔμμεναι ἀλλ' οὐ προῖκα θεοῦ πυλεῶνας ἀνοίχθαι.
βάσκε δ' ἔχειν κληΐδας ἐπουρανίου βασιλείης,
καὶ κρατέειν πάντων τε νόμων, πασῶν τε θεμίστων
ἀμβροσίας δ' ἔμμεναι ταμίας παυροῦ τε τραπέζης.
ἐξ ὧ θασαυρώς τε καὶ ἄπειρον ὄλβον ἄγειρεν,
ἁβροσύνας τ' ἐκόρεσσεν ἀρηΐδα ματέρα Ῥώμαν.
οὐδὲ μόνον λάκτιζε διοτρεφέας βασιλῆας
κρασὶν ἐπεμβαίνων, ἀλλ' οὐρανὸν αὐτὸν ἔμελλεν
ἀμφιέπειν σκήπτροισι, κελευέμεναι τε θεοῖσιν.
ἀλλ' οὐ προυχώρασε, τόπερ φρεσὶ μήδετ' ἐέλδωρ.
ἦ γὰρ μιν κατέπαυσεν ἀγχινοείας, θρασυμήδεας
οὐρανοπέμπτος ἀνὴρ ὑψαχέος ἔντεσι γλώσσας,
χειρῶν τ' ἐργοπόνοισι χαράγμασιν ἔνθεα θύων.
οὐδὲ μὲν οὐδ' ἀκονιτὶ (τὶς ἀργαλέον γὰρ ἄεθλον
πράξεν ἄνευ ἱδρῶτος) ὁ γοῦν μένος αὐτί' ἔρεισεν
ἄπλετον, ἀλλὰ μάτασε, πρὸς ἄλγεσιν αἴσχεα πάσχων
φωνὰ μιν νίκασε θεοπνεύστοισι βελέμνοις
ἐκ δ' αὐτᾶς Παπᾶο διαπρήξασκε κεραυνὸς

στάθεα

στῆθεά τε κεφαλήν θ' ὁ δ' ἄρ' ὕπτιος ἐξετανύσθη
φοίνιον ἀμπνείων, τρομεροῖς ποσὶν οὖδας ἀράσσων
ὡς μόσχος, τὸν δ' αἰζὸς ἀνὴρ ξίφος ὀξὺ μεμαρπὼς
Ἀρβιτάκω παρὰ ματρὸς ἑλὼν, ἀπὸ λαιμὸν ἔκοψεν.
αἷμα δέ οἱ καναχηδὰ ῥέει, πνοιὰ δὲ βιᾶται,
Ἀσπέιρει δὲ ποδέσσι, κατ' ὀφθαλμῶν δέ οἱ ἀχλὺς
ἐκκέχυτ' ἀλγινόεσσα, ῥέει δ' ἀπὸ νηδύμιον ἆσθμα
σῖγα δ' ὠτειλᾶς βαρυαλγέος, εἷλε δὲ πότμος.
Ὡς ὁ μὲν εἰσέτι νῦν κινέει χεῖράς τε πόδας τε
βαιὸν ἔθ' ἀμιθνάς, οὔτ' ἄρ σφυρὸν ὀρθὸν ἐγεῖραι,
ψυχροῖς ἐν μελέεσσιν ἔχει σθένος, ἀλλὰ βέβλαπται
πρὸ πρὸ δ' ἄρ' ὀφθαλμῶν ἀΐδας ἀλεγεινὸς ἰδέσθαι
στρωφᾶται, ποιναὶ δὲ περιτρύζουσιν ἀΐδναι.
τούτῳ δ' ἀγχιμολῶν χειστὸς τέλος αὐτίκα δώσει,
ῥίψας εἰς φλεγέθοντα κατ' εὐρώεντα βέρεθρα.
Ἔνθα δ' ἀμείλικτος μόρος ἔσσεται, ἔνθα δ' ὀδόντων
κριγμὸς ἀεικέλιος, στοναχῶν τ' οὐ παῦσις ἀλάστωρ.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
Ἀρτιεπὲς λουθᾶρε, τί σοι κλέος, ἢ τίνα μοῖσαν
ἐκφλύξαι πρέπον ἐστὶ, σὸν οὔνομα μεῖζον ὀλύμπου.
μεῖζον ἀοιδοπόλων μοισᾶν, πολυφέρτερον ὠδᾶς
Ἰσόθεος μόνος ἦσθα, θεῷ μόνος εἴκελος ἀνήρ.
ἆθλον ἑλὼν πρώτιστον ἐν ἀγχιθέοισι προφήταις,
καὶ στέφος ἐν μάρτυρσι φαάντατον ὀμβριμοθύμοις.
Ἐν δὲ θεογλώσσοισι βροτῶν ἀλιεῦσιν ἄριστον

κῦδος

κῦδος ἔχων μερόπων δυνατώτατος, ὀμβριμόεργος
καὶ σωτὴρ γενεᾶς ταλασίφρονος, ἀδλὺς ἀκουὰν,
ῥῆξαν δ᾽ εὐπιθανὸς πειθοῦς φάος, ὄμβριμος αὐδάν.
μύθων τε ῥητὰρ, πρακτὰρ τε παναίολος ἔργων.
παντοδαὴς, θεοΐδρις, ἐπιστάμενος τάτ᾽ ἐόντα,
ἐσσόμενα πρότ᾽ ἐόντα, θεαγγελίας θεοφώνου
μύστας, κοσμάτωρ τε μελίρροος ἠδὲ σαφήτωρ.
ὠκεανὸς σοφίας θεοΐδμονος, ἀδυεπείας
φέγγος, ἀλιτροσύνας θεομισάριο διωκτὴς.
συμφραδμων, σύμβουλος, ὁμέστιος οὐρανιώνων.
ξυμπτερος, οὐρανόφοιτος, ὁμόθρονος ἀθανάτοισιν.
αὐτοπτὴρ τριάδος, χθόνιος θεὸς, ἴχνος ἀείρας
εἰς θεὸν εὐσεβέεσσι πόθοις, ψαύων τε τραπέζας
Νεκταρέας, καὶ φθέγμα θεῷ βασιλῆϊ συνάπτων.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
πόσσα καμὼν, θεόφημε, πόσους ἄντλασσας ἀέθλους
χαλκομελὲς, πολύπειρε, θεοτρεφὲς, ἀγλαόμοχθε·
πουλυπαθὲς, ταλαεργὲ, πολυτλὰς, αἰὲν ἄτειρες,
θυμολέων, ἀκάμα, κόσμω μέγα θαῦμα, χελιδὼν
πνεύματος ἁγνοπόλοιο θεοῦ, λιγύμολπες ἀηδὼν.
πατρίδος ἀδηφαὴς ἀστὴρ, θεόδεικτον ἄγαλμα,
κᾶπος ἐϋπλοκάμων χαρίτων, θεότιμε μάντι.
πᾶμ᾽ ὀλοὸν παπᾶ ψυχάρπαγος αἱρεσιάρχα.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
οὐ τίπῳ φωστῆρι μέγας ἀμαρύσσετο κόσμος.

ἀξ

Ἐξ οὗ φῦλα βρότεια πολυστείλαντο σὺν ἀπήναις,
μυσίπολοι ζωᾶς ἀμαράντου χεισομαθαῖαι
οὐδ' ἔσται τοῖ ὅσπερ, ἕως ἀγχίρροπον ἕλξει
Ἀμβρότοις ἰθυδίκοισι θεὸς χείρεσσι τάλαντον.
οἷον ἐν ὀρνίθεσσι μέγα πρέπει ἀερίοισιν
αἰετὸς ὑψιπέτας, Διὸς ἄγγελος, ἔξοχα ταρσὸν
πάλλων ἠνεμόεντα· κράτος δέ οἱ οὐκ ἀλαπαδνὸν·
τοῖον δὴ δυνάμει τε λόγων, σοφίᾳ τε νομῆας
Ἄλλους χρυσόγλωττος ἀνὴρ ἀπεκαίνυτο πολλόν.
οἷος πέπνυται, λοιποὶ σκιαὶ ἀΐσσουσιν
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
Νῦν κύκνοι προχέοιτε γοάμονος ἄσματα θράνω,
οἷα κατὰ στομάτων κελαδεῖτ' εὖτ' οὐλοὸν ἦμαρ
ἀγχὶ παρεστήκει, γῆρας δ' ὑπὸ γυῖα λέλυνται.
ἀγλαΐα δ' ἀπέφθιτο, θεὸς δ' ᾧ Μοῦσα μέμηλε
Μαντοσύνα τε, τίθησιν ὑπὸ φρεσὶν ἵμερον ᾠδᾶς
ὔμμες δ' αἰολόδακρυν, ἰάλεμον ἀπύοντες
ἱμερτὸν στοναχεῖτε, καὶ Ἴστριον ἀμφὶ ῥέεθρον,
ἢ καὶ Στρυμονίοισι παρ' ὕδασιν. αἱ δὲ φίλυγροι
Ναΐδες εἰσαΐουσι, τάφῳ πεπλαγμέναι ἦτορ
κύκνοι Τευτονικοῖς ἀγγείλατε Μαλοβοτῆρσιν
ὅττι κύκνος δέδμηται θεοπρόπος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε, καὶ ὤλετο θεσπὶς ἀοιδά.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
Ἀηδόνες ἐν θάμνοισι μελίσδετε πένθιμον ᾠδὰν

ἠιμεῦι παπποφόνῳ, ζωαφόρον δ' ὅστις ἔδειξε
σφαλλομένοις οἶμον περὶ βάρισιν ἐς ὑψίβατον δῶ.
ὃς τὸν χειροκάπηλον ἀπηνέος ἔσχεθεν ὁρμᾶς
ὦ νύμφαι θαλερὸν ἶσι παρηΐδα τέγγετε θρόμβοις
αἴλιν' ὀδυρόμεναι, κατὰ δ' ἄνθεα ῥίψατε γαίης
στέμματα δ' ἐκ κεφαλέων κατατίλατε, κείρατε χαί-
εἴπετε δ' αὖ κώραις Ἀλεμανίσιν, εἴπατε πᾶσιν (ταν.
Ἀνδράσιν ἠδὲ γυναιξίν, ἀπέφθιτο Τεύτονος Ὀρφεύς.
ὦ μελίφρων λιγυροῖσιν ἐφίζανε χείλεσι πειθώ,
πειθὼ σωσιάνειρα, βροτῶν φρένα κεντίζουσα.
ζωοπύροις σπινθῆρσι θεῖον σέλας ὠδίνουσα
πίστιος ἀρχεβίοιο μόνη πόλον ἅτις ἀνοίγει.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
κεῖνος ὁ τῶν ἀρκτῶν κρυερὸς φόβος, οὐκέτι μέλπει.
κεῖνος ὁ τῶν θηρῶν ῥήξας σθένος ἀγειοδαίτων,
κεῖνος ὁ ταῖς ἀγέλαισιν ὀνάσιμος, ἐσθλὸν ἔρεισμα
μανδρῶν τε σταθμῶν τε, λελασμένος ᾤχετο μολπᾶς.
Νῦν δὲ παρ' ἀθανάτοισι θεοῖς μέλος ἀμβρότον ἄδει
κακοσυνῶν ἐπίλαθον, ἀχέων θελγαζὸν ἁπάντων.
ὤρεα δ' ἐστὶν ἄφωνα, σεσίγανται δὲ σύριγγες
οὔτ' αὐλοὶ κλάζουσι, βόες δέ μιν αἰὲν ἔρημαι
μακηθμῷ ποθέουσι, καὶ οὐκ ἐθέλουσι νέμεσθαι
ἄρνες ἀλώμεναι, πάντῃ φοιτᾶντι λύκος δὲ
ἐγγύθεν, εὐρυχανὲς χαίνων στόμα, οὐδὲ φυλακτὴρ
ἐστί, θεοῦ ποιμνὴν φρουρέων, καὶ λοιγὸν ἀλάλκων,

ἔς τε νομὰς ἐλάοι, κράνας δ' ὠθῇ νᾶμα πελάσδοι
αἶ αἶ ποιμνία πάντα κακὸς λύκος αὐτίκα δάπτει.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
τίς βροτὸς ἠγνοίασε τεὸμ μόρομ ἀξιόθρανομ;
ὦ μήστωρ θεόλατρε, θεόσδοτε, χριστιδίδακτορ;
τίς βροτὸς οὐκ ᾤμωξε, χέωμ κατὰ δάκρυ παρειᾶμ;
Ἔνθ' ἔτ' ἀμαχανίᾳ βεβολαμένος, ἄλγεα πάσχε.
κόσμος ὅλος πένθασε, καλὸμ δ' ἤμειψε πρόσωπομ
οὐρανὸς, ἑσσάμενος μελανόχροομ ἀμφὶ κάλυπτρομ.
ἀέλιος δ' ἤλλαξε μελακρήδεμνομ ὁμίχλαμ
ἀμφιβαλὼμ πόλοισι, συνάχνυτο δ' ἀειγένεια,
πυκνὸμ δάκρυ ῥέοισα κατ' ἀμβροσίοιο προσώπω
ὥς ποτε θυμὸμ ἄμυσσε νεὸμ περὶ παιδὶ δαμέντα
εὖτε θεῶς στυγέοισα ποτὶ ζόφομ ἔτραπεν ἅρμα.
καὶ μάνα στονόεντα δι' αἰθέρος ὁλκὸμ ἄγοισα
νύκτε κατὰ δροσερὰμ ὀλοφύρατο, λαμπρὰ δ' ἄχνυεν
ἄστρ' ὑπὸ μαρμαρυγᾶ λιποφεγγέϊ, νυκτὸς ἀμολγῷ.
Ἀγγελικὰ λύπασιν ὁμήγυρις αἰθέρος ἔνδον
Αὐτὰρ ὅμως καὶ χαῖρον ἐπεὶ σφίσιν ἄγχι βεβάκας
εἰλαπίνας μετέχων ὁμοτερπέος, αἰνὸς ὀρώρει
κλαυθμὸς ἐν ἀνθρώποισι, τάχ' ὕδατα δάκρυα γένιτο
Ἄνθεα δ' εἰαρινῇσιν ἐν ὥραις πάντ' ἐμαράνθη,
Δένδρεα φύλλ' ἀπέρριψε, γάνος δ' ἔλιπ' οὔθατα μά
οὐδ' ἔκαμεν σίμβλοισι συνηρεφέεσσι μέλισσαι (λων.
ἔθελον, ἀνθοπαγῆ γλυκερὸν πόνον, ὥστ' ἔλον ἱροῦ

νέκταρος ἐκ γλώσσης σέθεν οὐκέτι νᾶμα κατείβειν
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
οὐ τόσον ἐν σκοπέλοισι πολυσμαράγοιο θαλάσσης
Ἀλκυόνα θαλεροῖο πόθος κατετάκετ' ἀκοίτεω
οὐ τόσον ἀργαλέῃσι μελῃδόσιν ἴχθυο δειλὰ
ἔνθ' ὑπὸ χειμερίῃσι καταιγίσιν οἰκτρὸς ἐβρύχεν
οὐ τόσσον φιλότεκνος ἀποθράνησε χελιδὼν
ὃν γόνον, ὄντις ὄλεσσε, φίλαν δ' ἐκένωσε καλιάν.
οὐ τόσον ἐν πετάλοισι τανυσκεπέεσσιν ἀηδὼν
μύρεται ἀμφὶ τέκεσσι, τὰ οἱ Διὸς ᾤχετ' ἀπούρας
ὄρνις εἶσέ τ' ἄπτηνα, γόον δ' ἐπέθηκε τεκούσῃ.
ὅσσον ἀποφθιμένοιο κατωδύραντο προφήτου
χριστοσεβεῖς συνάπαντες ἀνὰ Γερμανίδα γαῖαν.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
τίς δυνάται Λυθᾶρε τεοῖς μύθοισιν ἐρίσδεν
ὑψαγόρας περ ἐών, ὅ τοι τάχα πρᾶξις ἔγεντο,
εὖτ' ἂν δὴ τὸ πρῶτον ἀμείψῃ θ' ἕρκος ὀδόντων
τὶς δ' ἴσθι σοῖς ἀέθλοις θάσσει χέρα; τὶς θρασὺς οὕτως
ὅς κ' ἐθέλοι σοφίᾳ τε καὶ ἔργμασιν ἀντιφέρεσθαι
ἔξοχ' ἀριστεύοντι, καὶ ἐν πρώτοισιν ἐόντι
οὔτις ἀνὴρ τοσόνδε θεῷ πεφιλάσεται ἄλλος
ὃς μετὰ Λυθᾶρον θεοείκελον αὖχος ἔχοντι
ἢ τρίτος ἠὲ τέταρτος ἔοι. τὶς δεύτερος ἔσται
τὶς πρῶτος, τὶς ὁμοῖος, ἀπέρρετε πάντες ἀλιτροὶ
οἵ τινες εὐχετάασθε προσείκελον εὖχος ἀεῖραι.

ὅσσ

ἦεν δ' ὅγε πρῶτος, καὶ ἔσσεται οὐδέ μιν ἄλλος
ἰδρείῃ τ' ἀρετᾷ τε παραξέξει βροτὸς ἀνήρ.
εἰσέτι γὰρ κείνοιο πνέει χεῖλός τε καὶ ἔργων
μιμεῖσθαι δ' οὐδεὶς δύναται μάλα περ κρατερόφρων
Ἄρχετε τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
κλαίει καὶ καθαρῖνα τεὸν μόρον, ἁ καθαρόφρων
κουριδία χριστοῖο, θεόφρονα τέκνα τεκοῦσα
νωλεμέως προθέουσα τεὸν μέλος ἄν ποκ' ἔτερπες
ἑσδομέναν σέθεν ἄγχι παρ' ἀϊόνεσσι θαλάσσας
ἁ καλὰ καθαρῖνα, τεὶν ποτὶ τερπνὰ γελῶσα
Εἰς σ' ἄμοτον στρέψασά γ' ἀειμείδητον ὀπωπάν.
οὐ γὰρ ἶσον κύκλωπι μελίσδετο βαρβαροφώνῳ
Ἀνδροβόρῳ, ναίοντι κατὰ πέσιν αὐσονίοισιν.
Ἔνθ' ὅγε τλησιπόνων ἀνδρῶν φάγε, νηλέα εἰδώς
Ἔγκατα τε σάρκας τε καὶ ὀστέα μυελόεντα.
τὸν δ' ἄρα πεπτύσδοντα θεῶ φύγε πότνια μνασά
σοί τε περιπλέξασα βραχίονας ἄσυχ' ἴαυε.
καὶ νῦν λασταμένα τῶ χάρματος, ἐν ψαμάθοισιν
ἵζεται αἰσχύνοισα καλὸν δέμας, ἐκ δέ οἱ εἶδος
Ἀμβρόσιον χροὸς ἔρρε, φθίνει γέ οἱ ἀγλαὸς αἰών,
σεῖο δ' ἀπερχομένοιο βοὰν ἔπι σεῖο νομεύει.
αἲ αἲ τὰν καθαρῖναν ἀπώλεσε φέρτατον ἀνδρῶν
οὐ ῥῖος μιν ἔτ' ἄλλος ἀνιάζουσαν ἰαίνει.
Ἄρχετε τευτονικαὶ τῶ πένθεος ἄρχετε μοῖσαι.
θῦ ἔτι ὦ βοῦτα ξυνκάτθανε ποικίλα μουσᾶν

Δῶρα θεοφραδέων τέχνᾶν κλέος οὐκέτι λάμπει
Εἰς ὀρφνὰν λογίων σέλας ἔμπαλιν, ὡς πρὶν νεύει.
πάντας ἐπεστόμισας δεδμημένος, εἰσὶν ἄναυδοι
βώτορες οὐρανίων τ' οἴων, καὶ ῥέκτορες ἔργων
θειοπόνων, Χριστοῖο θρόος πολὺ πᾶς ἐπέπαυτο
παίγνια δοξισόφοισι τεαὶ μελιηδέες ᾠδαὶ
ἠδὲ γέλως φυλάκεσσι τετεύχαται, οὔ τις ἀριθμὸς
σῶν γραφίδων, οὔ τις λόγος ὕστερον οὐδέ τις ὥρα.
Ἄρχετε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
ποῖ ψυχὰ προλιποῖσα τεὸν δέμας ἀγλαόμορφοι
ἤλθεν ἀμφιποταμένα, ποῖ νι μυχὸς ἦχι κέκευθεν
οἶδα γὰρ ὡς μορίμου γῆς ἄπνοον ἔλλαχε σῶμα
καὶ κτερέων ψυχῆς δ' ἀφανὴς δρόμος, ἦ γὰρ ἀεθλής.
Δέξατό σ' ἠλυσίου χλοερὸν πέδον ἑρσάεντος
ψυχὰ δ' αὖ λειμῶνα βαθύχλοον ἀμφιποτᾶται.
Ἔνθα πατὴρ μακάρεσσι νόοις σ' ὁμότιμον ἔθηκε
παγγενέτης Χριστῷ τ' ἀγχίθρονον, ἔνθα πάρεσσι
εἰλαπίναις θαλίαισι θεῶν, καὶ νέκταρα πίνεις,
καὶ σῖτον βρώσκεις λαθικηδέα. χρύσεον οἰκεῖς
δῶμα, νέα δέ σ' ἔχει βιοτᾶς πολυτερπέος ἅβα.
ναίεις δ' ἐν τε νάπαισι καὶ ἄλσεσιν ἀδυφυτεύτοις
εἴαρι τερπόμενος νεοτερπεῖ νωλεμὲς αἰεί.
Ἀμφὶ δέ σοὶ βιότοιο λιγυπνείοντες ἀῆται
ἁβροσύναν εἰλεῦσι λυγρῶν τ' ἄμπαυμα μεριμνῶν
θασκυρῶς δὲ θεῶν μυστάρια τ' ἄμμιν ἄφρασα

Εἰσοράας

Εἰσοράας, μεμάθηκας ἀπ' εἰκόνος αἰὲν ἀμέλγων
τέρψιν ἀειζώοιο θεοῦ, νεπόδεσσιν ὁμιλῶν
Εἰς βουλὰν, εἰς δαῖτα πανάγυριν, εἰς τ' ὀαρισμὸν
λάτρισιν οἳ ναίουσι θεῶ πολυχανδέ', ἀλωὰν
οἱ δὲ σε κυδαίνουσι θεὸν ὡς ἀμφικυκλεῦντες.
τύνη δ' ἐν πάντεσσιν ἑωθινὸς ἠΰτε φωστὴρ
μαρμαίρεις, στεφάνοις δὲ τεὸν θαλερόμματος ἄβα
βόστρυχον ἀδυπνόοισι πλέκει, μέγα δ' εἶδος ὀφέλλει
χαῖρε δέ μοι Λουθᾶρε θεῶν γένος ἄγλαον ἔρνος
αἰ θέρος, ἀθανάτων τε γάνος, καὶ κόσμος ἀρούρας.
ἀδυεπὲς, χαριδῶτα, θεογραφίας σθένος ἠὺ
θεολογίης τε κεραυνὲ θεοπτολέμων ἀφανιστὴρ
χριστομάχω δματὴρ παπᾶ, σωτὴρ θεοπιθέων
Ἀρχέτε Τευτονικαὶ τῶ πένθεος, ἄρχετε μοῖσαι.
χαῖρε θεοῖς ἐνάριθμε, νέον σέλας οὐλύμποιο.
ἵλαος δ' ἐρατᾶς ὑποδέχνυσο κόσμον ἀοιδᾶς
οὐκ ἀρκέω μεγάλοισι τεοῖς ὦ πάμμακαρ, αἴνοις
Ἀμφασίᾳ δ' ἔχομαι, χέθε μοι χέρα, παῦσον ἐρωὰν
Ματιδίαν, φίλε Φοῖβ' οὔ μοι χάδε νήπιον ἦτορ
ἐκφράσδειν, νοέειν τε τὰ μὴ πτύχες οὐλύμποιο
εὐρυχανεῖς χαδέουσι καὶ ἄπλετα κλίματα κόσμου
τόσσα θαυμασιουργὲ τεὰ ΛΟΥΘΑΡΕ κλεαδών.

# ΚΑΤΗΧΗΣΙΣ ΛΟΥΘΗΡΟΥ Η ΜΙΚΡΑ ΕΠΕΣΙ ΕΛΛΗΝΙΚΟΙΣ ΕΡΜΗΝΕΥΘΕΙΣΑ ἀπὸ Ἰωάννου τοῦ Μαρτίνου Σωρανιέως.

Μοῦσα θεησοφίης μυστήρι᾽ ἁγνὸν ἀείδειν
Ἄρχεό μοι παίδεσσι νεοτρεφέεσσιν, ἐνη-
ής
οὓς χριστὸς καλέει πρὸς ἐ παγκη λητο-
ει μύθῳ,
ὅντιν᾽ ἐφημερίοις οὐκ ἀμφαίνουσι βροτοῖσιν
ὅσσα Πλάτων γενετὴρ πυκινῆς γλυκυηχέτα ῥήξης
χρυσὸν ἀπὸ στόματος σταλάον, καὶ θελξιανείρας
εὐεπίης φωστὴρ λιγὺς Αὐσονίων ἀγορητὴς
Τύλλιος ἀντίθεος, καὶ ἀστέρες ἀγλαόφωτοι
Ἀνδρομένης σοφίης ἄλλοι, βίβλοισιν ἔδωκαν.
Τοὔνεκεν ἰχνεῦσαι μὲν ἔφυ θέμις, ὅσσα παλαιοὶ
Κέντρα νόου κραδάοντες ἐχέφρονα μουσοπατάκτου,
πυκνὰ διδαξιβίοισιν ἐνὶ βίβλοισι χάραξαν,
Ἀνθρώποις μέγ᾽ ὄνειαρ ὀϊζυροῦ βιότοιο,
Ἀλλὰ βίου οὐ πάντα κατὰ χρόνον ἀλγινόεντος
τοῖσιν ἐνιτρίβειν, γήρως ἕως λευκοκαρήνου
τέρμα πολυχρόνιον κιχέοι βροτὸν, οἷά τις ἀνὴρ
νηῒ θαλασσοπόρῳ πελάσας πολυκύμονι πέτρῃ

Apostrophe ad Musam.

Prophani autores legendi sed nō omne ætatis tempus ibi tanquā ad Syrenū scopulos consūmendū.

Σειρήνων λιγυρῶν, γλυκεροῦ νόστοιο μέδεσθαι
οὐ δύναται, κραδίην σφετερὴν γλυκερῇσιν ἀοιδαῖς
θελγόμενος πρίαλλα κοράων ὕδατος ἐρατῶν,
μὴ ἐθνέων δηρὸν πολυβάρβαρον ἀμφιμογεῦντες
λαὸν, ἀεὶ φθοροποιὸν ἀταρπιτὸν ἀμφιβεβῶτα,
ἤθεα μισόθεόν τε βίον μιαρόζοον ἐθνέων
›› ἐσσόμενον, συνομιλήσας γὰρ δηθὰ βροτοῖσιν
›› ἀλλογενέεσιν ἀνὴρ, τρέπεται οἱ αὐτίκα θυμὸς
›› πρὸς νόμον ἀλλοθρόων μερόπων, καὶ πατρίδος αἴης
›› πάγχυ φρεσὶν σφετέρῃς κεδνῶν ἐπιλήθεται ἠθῶν.
Ἀλλὰ θεοφθέγκτοιο διαμπερὲς ὀξυμερίμνου
ἰχνεῦσαι ἐπέοικε πόνῳ χρηστήια βίβλου,
οἷα σοφὸς Χριστὸς κέλεται σημάντρει φωνῇ.

Commẽdatio et laus scripturę.

Πρῶτα θεοῦ ἀγίην μεγαδυναμένου βασιλείαν,
ἠδὲ δικαιοσύνην ζητεῖτε θεωσιάνειραν,
πάντα τε τῶν χατέει βιότου δρόμος αἰνομόροιο,
ἱλαδὸν ἀμπετάσας νεμέει χέρα δωροδότειραν.
εὐκαμάτῳ σπουδῇ τε σοφὰ κεχαραγμένα βίβλου
Αἰθεροδωρήτῳ μαστεύετε θέσφατα, τοῖσιν
ἐντρέφεται ζωῆς ὄλβος γλυκὺς ἀϊδίοιο,
μαρτυρίην γὰρ ἐροῦσιν ἐμοῦ πέρι θεσκελόμητιν.

Τόσσον ἀμετροβαθῆ οὐ θεσπεσίου χαθέουσιν
θειορρημοσύνης μουσέων πολυπάνσοφα βύσσον
ὅπλα βεβηλόγραφοι βίβλοι, ὧν κόσμος ἐέργει
παμπόλλους, σταλάοντας ὀνησιβίου γλυκὺ νέκταρ

Ανδρο-

Ἀνδρομένη γενεῇ σοφίης, ἀρετῆς τε φαεννῆς.
Δέλφοι γὰρ ζάθεοι, τὰς βίβλια φημίζουσιν
οὐ σοφίης μέγ' ἄεισμα Πλάτων κλυτὸς αἰολοβούλος
οὐδὲ κόραις ἀτάλαντος Ἀριστοτέλης σοφὸς αὐδὴν
μνημοσύνης ἐχάραξεν ἐχέφρονος, οὐδέ τις ἀνδρῶν
βένθεα πεισινόου σοφίης πολύτροπα δαέντων,
ὧν κλέος ἀμφιποτᾶται πολυτέρμονα κλίματα κόσ-
εἰσέτι, πανδήμοισιν ἀειδόμενον στομάτεσσιν, (μου
ἀλλὰ θεὸς ναετὴρ πυροειδέος αἰθέρος οἴκου,
καλλιπόνῳ σφαίρωμα λόγῳ στράπτοντος ὀλύμπου
ὃς κτίσε, καὶ γαίης ἀλιερκέα πῆξε θέμεθλα,
κτίσματά τ' ἀγλαόκοσμα, σέβας μερόπεσσι βροτοῖσιν.
ὅσσα τ' ἐνὶ κόσμῳ τρέφεται, τῷ οὔνομα κεῖται, Deus qd
Αὐτομέδων γενετὴρ, καὶ παῖς προαναρχογένητος. & quis.
ἠδὲ πατρὸς καὶ παιδὸς ἀπορρῶξ ἁγνὸς ἀήτης.
εἷς θεὸς οὐσίῃ ἐν ἰᾷ, καὶ ὑποστασίεσσιν
ἐν τρισσοῖς διακεκριμένοις, φῶς μουνοσέβαστον,
πᾶσαν ὑπεκπροθέον μερόπων φρένιν ἠδὲ νόημα.
οὐρανοὶ ὃν περιέοντες ἀπείριτοι οὐ χαδέουσιν,
οὐδὲ βαθυστέρνου πλέον βροτοχανδέϊ κόλπῳ
μυριάδες γαίης, θνητοῖς πῦρ δεινοκάθεκτον
φῶς ἀπερίγραπτον καὶ ἀπρόσβατον ἀμφιβεβληκὼς,
ἀπροσόρατος ἐὼν καὶ δυσπερίληπτος ἅπασιν,
πλᾶσμα μέτα κρέων φορέπολμον πρωτοκακούργων.

Τοὔνεκεν ἀνθρώποις φαίνει μερόπεσσιν ἑαυτὸν, Verbum
ῥήματος medium

quo deus ceu veste inuolut9 cũ hominib. agit.

ῥήματος οὗ σπείρῳ εἰλυμμένος αἰθροδίκτου,
εὐσεβέων δύνει κραδίην θεοχανδέα νηὸν,
τούς τε νεωσπόροις λουτροῖσιν καινολοχεύει
ὀλλυμένους, στυγερῷ τε σαγηνευθέντας ὀλέθρῳ,
ἀγκαλίσιν σφετέρῃσί τ' ἀμύμονας ἐγκατανάσσας,
ἁγνίζει, καὶ ζωοποιεῖ πρὸς ἀπειρέα τιμὴν
αἰθέρος εὐόλβου βιότου, ὁσίης τε θεοῦ δοὺς,
θέντας ἐπὶ Χριστὸν πίστιν, κλῆρόν τε βίοιο
ἀϊδίοιο διδεῖ τοῖς, καὶ συγκτήτορας ὄλβου
ᾧ πὴν ἔνι γαναάφ ποιεῖ σφέας υἱὸς Ἰησοῦς.
ἔστιν ἐπεὶ δύναμις πολυσέμνου ῥῆμα θεοῖο,
πάντας ὑπεκσαώσασα πολυθρήνοιο βερέθρου
πίστει προσπτύξαντας ἄμ περὶ παῖδα θεοῖο.
ῥήματα πανδυνάμοιο θεοῦ ὃς ὄλυμπον ἐνοικεῖ
ἁγνὰ πέλει, καὶ ἀργυρέῳ ἐπιείκελα λευκῷ,
ἑπτάκις αἰθομένοιο καθαιρομένῳ πυρὸς αὐγῇ,

Laus scripturę sacræ.

καὶ βασανιζομένῳ ὑπὸ χρυσοχόου κλυτοτέχνου,
παναρετῶν καὶ ἄβυσσος ἀπύθμενος ἔμφρονος ὄλβου.
ῥησμοσύνη ἔνταλμα θεοῦ χαρίεσσα φαεινὸν
ὅ, τι κεν ἀκτίνεσσι θεοβλήτοισιν ἀφαυρῶν
ἀχλύϊ πλαζομένων φωτίζει φάεα θνητῶν.
ἐστὶ ποθεινοτέρα χρυσοῦ πανθέλκτορος ὀμφὴ
ῥήματος ἀμβροσίου, λίθακός τ' ἐριτιμήεντος,
καὶ γλυκίων σταγόνων μελικηρίδος ἱμεροέσσης.
ἀσπὶς ἐρυξίμορος καὶ ἔμπυρος ἐνθεόφωνον

ῥῆμα

ῥῆμα θεοῦ, πάντεσσιν ὅσοις πέλεν ἐλπὶς ἐπ' αὐτῷ,
χαρμοσύνης ἀμψυξινόου θελκτήριον ἠδὺ
ἐνσταλάον κραδίῃσιν ἀκηχεμένῃσιν ἀνίαις.
μῦθός ἐγερσίβιος πανανάρχου κοσμομέδοντος
Ἀνθρώπων μυχάτῃσιν ἐνὶ πραπίδεσσιν ἐνεργεῖ
ὀξύτερον θηκτοῦ καὶ ἀμφιτόμοιο μαχαίρης
ἵ ῥα διαρρήξας διὰ σπλάγχνων τε καὶ ἰνῶν
τμήσει λεπτοπόρῳ, εἰς ἔκλυσιν ἄρχις ἱκάνει
ψυχῆς ἠδὲ πνοῆς, καὶ ὀστέων μυελοέντων.

Τοὔνεκα πᾶσα γραφὶς θεόθικτος ὄνειαρ ἀπαυδὸν
Ἀνθρώποις στάζει ἀμενηνοβίοισιν, ἔφυ γὰρ
Ἀτρεκὲς ἡγήτειρα ποτὶ κλέος εἰκελοχείσου
ἠδὺ δικαιοσύνης, καὶ ὅσα φθοροποιὰ τέτυκται
Ἀμφαίνει διδαχῆς ἀποσεισικάκοισιν, ἵν' ἀνὴρ
πραγμαθηδός τε γένοιτο, καὶ ἄρμενος, ἔμφρονι μόχθῳ
ἐκτελέειν θεάρεστα, καὶ οὐκ ἄχρηστα βροτοῖσιν,
οὐ τόσον γραφίδεσσιν ἐνὶ πινακαῖς σοφοεργῶν
Φιλοσόφων, σοφίης τε δικημοσύνης τε τέθηλεν,
ἥ τις ἐνὶ στήθεσσιν ἀναφλογίσειεν ἐρωὴν,
ὄφρα θεῷ τις ἀνὴρ κεχαρισμένον ἔργον ἀνύοι,
Αὐταὶ ὑποκειτέων τάχ' ἐποτρυνέουσι τελέσσαι
ἔργον ὅ, τι στύγος ἐστὶ θεῷ, οὐ γὰρ τότε λεῖπις
πίστιος ἐσθλοπόνοιο θεοκμήρισι θεμέθλοις
ἐμβαίνων, καὶ πρὸς θνητοῖς μέγ' ὀνήσιμα ῥέξας.
ἀλλὰ κακοπραγίης μιν ἀπ' αἰνὸς δειμὸς ἐρύκει

Hypocriſis tēperat à malis, vel metu pœnæ vel ſpe præmij.

παυσι-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0037

πᾶσι κακοῦ τιμῆς, ἢ οἱ νόος ἐς καλὸν ἔργον
στέλλεται οὐχ ὁσίοις αὐτὸν κέρδεσιν ἰανθείς.
τοὔνεκεν ὅσσα κάμει τιμήσιος ἀλγεσιδώρου
ἠδὲ κατακρείσεως πέλεν ἄξια ῥιγεδανοῖο..
τοὔνεκεν ἐμμαθέως ζαθέων μυστήρια βίβλων
ἀνθρώπους ἐπέοικεν ἐρευνῆσαι ταλαεργούς,
καὶ δῦναι πᾶσαν φρένα τοῖς διὰ νύκτα καὶ ἦμαρ,
οἷα χάρις κέλεται ζωουργὸς ἀκμαῖος ἁγνοῦ
πάντα διαδραμέειν τε νοήματος ὀξυτάτοιο
ὀτραλέως περιδρύπτοισιν, ἐπεὶ οὐ ῥῆμα θεοῖο
πνεύματι θεσκελόφωτον ἐκεῖ ἀνεμώλια θνητοῖς
ἀλφησταῖς ἐχάραξε, καὶ οὔ τις ὄρωρε κεραία,
ἧς οὐκ ἐκκρεμόωσιν ὀρέων ὑπερβραχθέντες ὄγκοι,
ἀφροσύνῃ σοφίης πολυπληθέες αἰθεροδείκτου,
οἳ καὶ ἀμετροβαθῆ δυσαχῆν τε περιηγείην τε
θειόσοφον σταλάουσιν, ἀκέσματα τοῖσιν ἄγουσαν
οὓς κῆρες στυγεροῖσιν ἐνειλήσαντο κακοῖσιν.
οὐ γὰρ ἔφυ ἄνδρεσσι χαμαιφρόσιν οἷον ἐρευνᾶν
καὶ σοφίης κιχέειν μυστήρια δυσπερι λήπτου
ἢ μὴν ἐνὶ σελίδεσσι θεογράπτοισι βρυάζει,
μυριάκις βιβλοιό περ ἱεροθαλλέα κῆπον
ὄμμασιν εὐφρούροισι διαστείξασι πανίερον.
τόσος ἐπεὶ ἀκιχήτου σοφῶν βύσσωμα τέτυκται
πουλυβαθὲς γραφίδων, τὰς πνεῦμα θεοῦδες ἔγραψεν
ἔφρακεν ἦμαρ ἐπ' ἦμαρ ἀρείονα γνῶσιν ἀφύσσοι

Ἐξέτι

ἐξέτι πρωτοφυῶν ὀνύχων τῶν κεῖνος ἀνήρ,
πολλὰ φιλησιπόνῳ σπουδῇ ἐνὶ τῇσι μογήσας,
καὶ θυμὸν κομιδῇσιν ἀειφρούροισιν ἐρέχθων,
ὄψιμον ἕως ζωῆς βιότου ποτὶ πεῖρας ἱκάνοι.
ὥστιν' ἐνὶ πουλυχρόνιοι καὶ τυμβογέροντες
ἄνδρες, ἀέξοντες πραπίσιν πόθον ἀπλετόμοχθον
ἰδρείης, σπουδὴν καὶ μῆτίν τε κυδιάνειραν
ἀμφὶ δαημοσύνην σοφίης ἀνιόντες ἐραννῆς,
οὐκ ἀπληστομανῆ κραδίης πόθον ἐξακέουσιν,
ἀλλὰ μεμῶς ἀλίαστον. ἐνὶ στήθεσσι φίλοισιν
θυμὸς ἐρευνῆσαι σφίσιν ὄρνυται ὄλβον ἄφραστον
ἀμβροσίων ἐπέων, καὶ ἀρείονα πλοῦτον ἀφύξαι
ψυχῆς κοσμητῆρα φίλης, ἀλκτῆρά τε πότμου.
πιότατον γὰρ ῥῆμα θεοῦ ταμιήϊον ἁγνόν,
ὅ, τικεν ἀνθρώποισιν ὀνείατα πολλὰ καὶ ἐσθλά,
τῶν σφίσιν ἐν φρεσὶν ἦτορ ἐέλδεται, ἐγγυαλίζει,
ταξίβιον τερψέων ῥόον ἄσπετον ἱμεροεσσῶν.
ἀνθρώπων γενεῆσι φυλασσόμενον μογερῇσιν.
οἷά τε ἔνθεον εἶδαρ ἐρημοβίοισιν ἑβραίοις
λευκανίῃ ἔνι μάννα τὸν ἤθελε θυμὸς ἑκάστῳ
νήδυμον εἶβεν ὀπὴν, τοῖς δὲ φρὴν τέρπετο πᾶσιν
ἐξ ἔρον ἱεμένοισιν ἐδητύος αἰθέρος ἄρτῳ.
ἀλλὰ πολισσούχων κρατερῶν ἐπεὶ ἢ βασιλήων,
θεσμοφυλακτήρων τ' ἄλλων διπλώματα φωτῶν,
δηθάκις ἀνθρώπους χρὴ χείρεσιν ἀμφαφάασθαι,
γνω-

Sermo dī uinus omnes in se conti- net deli- tias.

Quia re- gum ac principū literæ sæ pè legen dę, vt dī cūt, mul tò magis scripturis

omnipotentis Dei epistola assiduè legēda est.

γνωσέμεν ἐνδυκέως τε φρεσὶν καὶ ὄμμασι πάντα,
ὅσσα φυλασσέμεναι λαῷ φαίνουσι πολιτέων,
Αἰθερίων γραπτοῖς περικαλλὸν φθέγμασι μύθων,
Ἄνδρας ἔοικε δαμέντε φρένα καὶ φροντίδα πᾶσαν,
ὅττιν ἐπὶ δίπλωμα θεοῦ μέγα δυναμένοιο,
ὅ, τίκτεν οὐρανόθεν μερόπεσσι πέμψε γενέθλῃ,
δηλώσας πάντεσσιν ἑὸν βούλημα θεουδὲς,
πλειοτέροισιν ἀτὰρ πέλει ἀνδράσι μόχθος ἀνίδρως

Contēptus sacrarū literarum.

γνωσέμεναι σοφίην θεοειδέος ἣ κεχάρακται
ἐν σελίδεσσι, μίῃ ῥέα τὴν δεδάασιν ἐσωπῇ.
τοὔνεκεν οὐ τιμὴ μετ᾽ ἐφημερίοισι τέτυκται
εὐαγέσιν βίβλοις, οἳ νῦν μερόπεσσι βροτοῖσιν
ἰσοῦνται σκώληκι χαμερπεῖ, ὅς ῥα πόδεσσιν
μουναδὸν ἐν τριόδοισι περιτείπτοισιν ἑλίσσων
σῶμα βραδυστρεπτὸν, μερόπων θαμέεσσι πατεῖται.
Ἀνθρώπων μὲν ὄνειδος ἀπόρρητον γεγάασιν
θειόλαλοι γραφίδες, καὶ ἀτιμάζουσιν ἅπαντες
ἀτραπὸν ἐς βιοτὴν μῦθον δεικνῦντα θεοῖο.
οἷα γὰρ ὑβριστέων μερόπων κακοεργὰ γένεθλα,
ἀζόμενοι τίουσι θεοῦ βιοτηπορὸν υἱὸν
ῥῖα λόγου κεῖται σφίσι καὶ σέβας οὐρανοδείκτου
πάντες ἐπεὶ σφετέρῃσιν ἐνὶ φρεσὶν ἰσχανόωσιν
ὄλβου τε, πλούτου τε, καὶ ὧν μέγα κῦδος ὁρῶσιν
ἐν κόσμῳ μερόπεσσι χαμαὶ φρόσιν ἀγλαοκόμπῳ,
οὐδεὶς ἐν πραπίδεσσιν ἀνὴρ ἐπιμαίεται ἔργων

πνευμα-

πνευματικῶν, καὶ ἄνω ζωῆς πρὸς ἀτειρέος αἴγλην
οὐ πολέεσσι ῥέπει κραδίη ποθέουσα θεοῖο.
τῷ πολὺ μᾶλλον τοῖσι τετιμένα βιβλία φωτῶν
εἰσὶ βεβηλολόγων, ἢ δέλτοι αἰθερόγραπτοι. (πτει

Φεῦ φεῦ ἀνθρώπους πόσσον σκότος ἀμφικαλύ-
μωροσόφους βδελυρῆς ἀλαοσκοπίης, ἀγάθοιο
δεινὰ νόου βληθέντας ἄτῃ, κακόποτμος ἁμαρτίας
πόσσον ἀργυρογενέεσσιν ἐπήγαγε πήματος ὄμβρον,
πρῶτον ἐπεὶ πτόρα πῆλεν ἀνὰ χθόνα πᾶσαν ἀμαυρά,
οἷον ἀπόρρητον τόδε ῥηγνυλόν τε τέτυκται,
ὅττι γόναι μερόπων λατρεύμασιν ἐγκονέοντες
γαστρὸς ἀειμάργοιο, καὶ ἃς ὅδε κόσμος ἐγείρει
ἐμμενέως ζοφερῆσι μερίμναις ἐμπεφυῶτες,
πάμπαν ἀπὸ γραφίδος ῥίπτουσιν φροντίδα θείης,
ἣ μουσοπνεύστων τοι τόσσον ὑπείρεχε βίβλων
ξυμπάντων, ὅσσοι πεφύασιν ἀν' εὐρέα κόσμον,
φέγγει ὡς ἄστρων χρυσέων προβέβηκεν ἁπάντων
ἐμβαίνων φλογεροῖς τελεσίχρονος ἥλιος ἵπποις.
ἢ καὶ στιλπνοπάρηος ἑωσφόρος ἡμερίοισιν
ὀρθροφανὲς κάλλιστον ἀκοντίζων μερόπεσσιν
φέγγος, ἀειρρόχθευντος ἀπόσσυτος ὠκεανοῖο.

Τί στίχες συγγραφέων γ' ἐπίτριμοι ἂν χθόνα βί- Collatio
καί τε βροτοσοφίης ἐραστῆς σέλας οὐρανομῆκες, (βλων; scripturæ
θνητοφυέεσσι τεθηλὸς ἀνὰ μεγαλερκέα κόσμον, cum Phi-
ἀπλοοφωνήτου πανθείου γραμμοκραίη losophia.

ῥητροσύνης ξυμβληθὲν εἴη, καὶ τοῦ βραχυγράπτου;
ἢ μόνον οὐ προφέρει πάντων οὓς γαῖα κέχανδεν
χαρτοπαγέων βίβλων, ἀλλ' αἰθέρος ἀστεροδαιδάλτου
καὶ γαίης περίεστιν ἁλιζώστου, καὶ ἁπάντων
ἐν βιβλῷ ὅσα φῦ, καὶ ἐνὶ χθονὶ πουλοβοτείρῃ
ἃ φθινύθει ῥεῖα νεφοείκελος ἠΰτε λιγνὺς
συμφύρδην φλεγέθοντος ἀποθρώσκων πυρὸς αὐγῆς,
ῥῆμα θεόρρητον δὲ μένει καὶ ἄμβροτον αἰεὶ
ἕως αἰὼν ἀκάμας πανατέρμονα νύσσαν ἀμείβει,
οὔτινος ἀντὶ μιᾶς λεπτογράπτοιο κεραίης
παρθέμεναι θέμις ἐστὶ φίλον βίον, οὐδὲ φέβεσθαι
κῆρας ἀμειλίκτας ἑκατὸν χελὸν ἀντιοώσας,
πνειούσας λυσσηδὸν ἀολλέας αἰνὸν ὄλεθρον.

Paruus Catechismus Lutheri breuis summa Scripturæ. Lutherus.

Ἀλλὰ θεοφάστου ζαθέη μύθοιο κορωνὶς
ἐστὶ κατήχησις θεοδωρήτοιο Λυθήρου,
ῥήματος ἑρμηνέων παναρείστου αἰθεροδείκτου.
οὐ γὰρ τοῖος ἔην, οὐδ' ἔσσεται, οὐδὲ γενεῖται,
οἷος ἐκεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι,
Ἀθανάτων βουλῇ καὶ ἔργμασιν ἔξοχ' ἄριστος,
οὐρανίης σοφίης τ' ἐπ' ἀπείρονα κύκλα τρεφθεὶς,
μήδεσι καὶ ἔργοισιν, ἰδὲ φρεσὶ πολλὰ κέκαστο.
κῆρυξ πεισήνωρ πεπνυμένα μήδεα εἰδώς,
οὔτινος ἐν στόμασιν μειλιξιάνειρα κάθηται
πειθώ, ῥητροσύνης ὄμβρον χαρίεντα χέασα
θεολάλου, οὕτως δὴ ἄνδρας ἐκήλεε θνητούς,

ῥητήρων τε

ῥητὴρ ὤν τε μόνος γλυκύμυθον ἐγκατέλειπεν
κέντρον ἀκουομένοισι, θεοῦ στόμα θεσκελόφωνον,
οὐ μοῦνον γενναῖον ἔπος στηλάων στομάτεσσιν
ἀλλὰ θεόρρητον θειόν τε καὶ ἐγρέζωον.
τοι καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδὴ,
εὐκέλαδος μεγάλοιο χελιδὼν πνεύματος, ἠδὲ
βένθος ἅπαν λογικοῖο σακήμονος ὠκεανοῖο,
καὶ χριστὸν βιότητος ἑῆς μόνον ἐσθλὸν ὄνειαρ.
ὄντε θεὸς ἐδίδαξεν ἀθέσφατον ὕμνον ἀείδειν,
ζῶσέ τε καὶ κόσμησε θεοῦ φερεφεγγὲς ἄημα. (τῆς.
Ἀμφότερον ῥητήρ τ' ἀγαθὸς, κρατερός τ' αἰχμη-
ὅστε μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταται, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο,
ἔνθ' ὅγε δῆλος ἀνὴρ ὅς τ' ἄλκιμος ἐξεφαάνθη,
ἐχθρῶν οὐ νιφάδεσσι προσείκελον ἀμφιχυθέντων
τρέσσας, οὐ κόσμου παντὸς μένος ἐχθοδοποῖο,
διαβόλων οὐδ' ὄμβρον ἀάπετον ἀγρωθύμων,
ὁππότε θεῖον ἀγῶνα τελέσσας ἑαυτοῦ, πνείων
δόξαν χριστοῖο στομάτεσσιν γλωσσοκεραύνοις.
θεολογίη ὃς πάντας ὑπείρεχεν ἐν θεολείκτῳ,
Ἀστὴρ ὡς ἀρίδηλος ἂν οὐρανὸν ἀστερόεντα
ἕσπερος, ὅς μέγα πᾶσι μετ' ἀστράσι παμφαίνῃσι.
οὐ γὰρ καὶ ὡς νόον ἄλλον ἀμείνονα τῷ δὲ νόησεν
ἕρμασιν ἐν πάντεσσιν, ὅταν χρειὼ παρέπιπτεν.
κύκνος μειλιχόγηρυς ἐν ὀρνίθεσσιν, ἐν ἄστροις

 ἥλιος.

ἥλιος, ἐν θήρεσσι λέων, ῥόδον ἡδυπέτηλον
ἄνθεσ' ἐν εἰαρινοῖσιν, ἐν ἀνδράσιν ὄμμα φαεινόν.
πανσοφοδυνάμενος, φέγγος μέγα πατρίδος αἴης,
χάρμα μέγ' ἀνθρώποισι κακῶν θελκτὴρ ὀδυνάων.
ἄλλον μειλιχίοις ἄλλον στερεοῖς ἐπέεσσιν
φθεγγόμενος παντοῖα νόῳ χαρίεντα δίδαξε.
ἐκ δ' ἄρα τοι πάντες λάβομεν πληρώματος ἡμεῖς.
ὅσσοι νῦν διδαχὴν ἀναφαίνομεν ἠμερίοισιν
ζωοφόρου μύθου, θεοηχέες ἀγγελιῶται.
ὠκεανὸς σοφίης γὰρ ἀπύθμενος ἔσκε θεοῖς,
ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φείατα μακρὰ νάουσιν.
ὀφθαλμὸς κόσμου θαλπνός, καὶ θαῦμα μέγιστον,
σάλπιγξ τ' ἀτρεκίης μεγάλη, πολυηχέτα σεμνῆς
στέντωρ τε τριάδος, καὶ πίστιος ἕρμα πανάγνης.
Τοὔνεκά μιν πολλοὶ φιλέουσι καὶ ἔμμεν ἔφασκον
μάντιν ἐν ἀνθρώποις βουλὰς βάζοντα θεοῖο,
θεῖον ἀπασσάμενοι μῦθον καὶ ἐπίφρονα μῆτιν,
πάντων γὰρ μερόπων ἀνθρώπων ἔσκεν ἄριστος.
οἷα γὰρ εἷς ἔπελεν Θεσβιτίδος ἀστὸς ἀρούρης
ἠλίας, ὃν Ὄλυμπον ἐσῆγε πυραυγὲς ὄχημα,
εἷς καὶ Ἰωάννης ἐριηχὴς πρόδρομος ἄκρου
φωτός, βαπτισμοῦ φαεσήνορος ἠπύτα κῆρυξ,
καὶ εἷς ἀστροβάτης Παῦλος πέλεν, ὃς μάλα πολλὰ
πλάγχθη, καὶ ἐθνέων πολυειδέα φῦλα πέρασσεν,

πολλάδ'

πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν.
ὄφρα θεοῦ πολλὸν ἐς ἀλωὴν καρπὸν ἀγείροι,
οἷά τε εἰς μερόπεσσιν ἑωσφόρος ἀνδράσι λάμπει
ὅς πάντων κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστὴρ,
οὕτως καὶ Λυθῆρος ἔην εἷς φωσφόρος ἀνδρῶν
θειολόγων, μύθου θεοδωρήτοιο σοφιστὴς,
πλείονες οὐδ' ἔσσοντ' ἕως κλασίκοσμος ἅπασιν
Ἀνθρώποισι φανοῖ καὶ λοίσθιος ἦει γένεια,
ἧς Λυθὴρ ῥα προῆλθε διδάσκαλος ἐχεσίμυθος
κόσμῳ ἀχλυόεντι, κεκασμένος ἰσοθέοιο
ἠλίου ζήλῳ, καὶ πνεύματι τ' ἀρετῇσιν,
ἠδὲ διαῤῥαισθέντος ἀγήνορος Ἀντιχρίστου,
ἔντεσι πνευματικοῖσι θεοφάστοιο λόγοιο,
ὑπ' ἀρχὴν μερόπεσσιν ἔδειξαν κοσμοβίοισιν.
πάντα γὰρ ὃν δηρὸν πεπρθημένον εὗραν τέκμωρ,
ὅσσα θεοπλήρεσσιν ἐνὶ σελίδεσσι χάρακτο,
καὶ ἤδη γαίης κυκλοειδέος ἐνναετῆρες,
ἐν πυματοκρισίης νεοφεγγέος ἤματι σεμνῷ
ἕλκουσιν βιοτὴν ἀγχέστροφον, ὀξυπόθητον
ὑέα προσδοκόωντες ἀνάρχου κοσμοδικαστὴν
γεννητέω, κόσμου καταμαλδυνέοντα θέμεθλα
πρηστῆρσιν μαλεροῖς καὶ παμφλέκτοισι κεραυνοῖς,
τοῖος ἔην κεῖνος φωστὴρ σθεναρῶν Ἀλεμαννῶν,
ὑπὸ μεγάλης θεότητος ἐλαυνόμενος βελέεσσιν,
ὃς δὴ ἔργα τέλεσσε θεόσσυτα θαῦμα θεᾶσθαι,

 ὅσσ' οὐ

ὅσσ' οὐ πρόσθεν ἴδον οὐδ' ἔκλυον ἄνδρες ἀμαυροί,
οὐκ ὅδ' ὅγ' ἄνευθε θεοῦ τάδε ῥέξατο, ἀλλά τις ἄγχι
ἐστὶν ἀθανάτων, ὅς ῥεῖα μάλ' ἐξετέλεσσεν
ὅσσα θέλεν, καὶ πρὸς δειλοῖς ἀτέλεστα βροτοῖσιν.
ἐσσομένων τῶν γὰρ καὶ ἐκ πυρὸς αἰθομένοιο
νοστήσειέ τις, οὐδὲ τρέσοι παναμείλιχον ὄμβρον
διαβόλων σωρηδὸν ἐπεσσυμένων, καὶ ὄλεθρον
πασσυδίῃ κεφαλῇ καὶ πήματα μηχανοώντων,
οἷος τ' οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
πολλὰ γὰρ καὶ ἀγόρευε τὰ δὴ νῦν πάντα τελεῖται,
ψεῦδος δ' οὐκ ἐρέει μάλα γὰρ πεπνυμένος ἦεν
οὐδ' ἅλιον ἔπος ἔσται, ὅ, τι προέειπε βροτοῖσιν,
οὔτε γὰρ ἦν ἄφρων, οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ᾔδη γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.
πῶς δέ τις ὑμνήσει πάντως εὔυμνον ἐόντα,
αἶνον δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω,
οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι δέκα τε στόματ' εἶεν,
φωνή τ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη.
ῥητὴρ ἢ πρηκτήρ τε παναίολος οἷος ἀπ' ἄλλων,
πολλὰ λέγων καὶ πολλὰ γράφων καὶ πολλὰ μογήσας
οὔτινος ἐν στομάτεσσιν ὅλοι παράκληροι ἔασιν
οἷος πέπνυται λοιποὶ σκιαὶ ἀΐσσουσιν.
Ἀλλὰ κατηχήσεως τάδε τοι κεφάλαια πέλονται.

Partes Catechismi, Decē Præcepta, Symbolum fidei, Oratio dominica, Baptismus, Absolutio, Cœna Domini.

Μῦθος ἐφημοσυνέων δέκα θεῖος πλαξὶ χαράκτων,
ὅν καὶ κικλήσκουσι θεοῦ νόμον αἰθερότακτον,

πίστις

πίστις τ' ἠδὲ θεοῖο μαθητῶν σύμβολον ἁγνόν,
εὐχή τε χριστοῦ καὶ βάπτισις ἀρχίζωος,
καὶ λύσις ἀμπλακιέων, καὶ εἰλαπίνη θεόκταρος.
Θεσμὸν ἄναξ δ' ἀνδρέσσιν ἐρημοβίοισιν ἑβραίων Decem Præcepta.
κοσμοκράτωρ ὀπ' ἴεις ἀνέφηνεν σμερδνολάλητον,
οὔρεος ὅππη Σιναῖ Ἀράβων στυφελῇ ἐνὶ γαίῃ
ὑψηλὸν τέταται, ἐς οὐρανὸν εὐρὺν ἱκάνει
αἰπεινῇ, κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκεν.
φικτὰ δὲ βροντήσας πεπταγόδρομον ὦρσε κυδοιμόν,
ἠδὲ θάμα στεροπῆς ἐρρήγνυτο πυρσοκελεύθοις
ἀτραπὸς ἠερίη, μεγάλου τ' ἐλέλιξεν ὄλυμπον
καββαίνων ῥοιβδηδόν, ὑπήλυθε δ' αἰνὸν ἅπαντας
γῆα τρόμος, μωσῆν βαθυπυθμένι προσδοκόωντας
ἐν πρυμνωρείῃ, τοίην τ' ἐρρήξατο φωνήν.
Σὸς θεὸς αἰθέριον βασιλήϊον ἀμφιβέβηκα, Primum præceptũ.
μὴ ἀθέοισι θεοῖσι δόμεν θεοσέπτορα τιμήν,
μηδέ τι ἱδρύνειν βρέτας ἄπνουν χειρεσίγλυπτον
δείκελον εἰκελόμορφον ἐκείνων, ἀστροφορεῦντος
οὐλύμπου αὐλὴν ὅσα μαρμαρόεσσαν ἔχουσιν,
οὐδ' ὅσ' ἐνὶ τρέφεται πολυβόσκου πείρασι γαίης,
ἢ χαροπῇσι ῥοῇς περὶ πυθμένα νείατον αἴης.
μὴ σφίσιν ἀνσχεθέμεν χεῖρας, μητ' ἐγγυαλίζειν
τὴν μούνην ἐπέοικεν ἐμοὶ δόμεν ἔμφονα τιμήν,
σὸς γὰρ ἐγὼ μονοτίμητος μεδέων τε θεός τε
οὐδὲ παρὲξ ἐμέθεν τιμῆς θεὸς ἄξιος ἄλλος,

ἡμετέρης βιότου μερόπων ἐνὶ χείρεσι κεῖται.
μειλίχιόν τε κακόν τε τά τε σφίσι πάντα πέλονται.
τόν σε μόνον τρομέειν κέλομαι καὶ ἀμφαγαπάζειν,
καὶ αὖ τοῦ πίσυνον στερεόφρονα θυμὸν ἀέξειν.

Secundū.

Μὴ ὀνομαζέμεναι στομάτεσσι ματαιολόγοισιν
οὔνομ᾽ ἐμὸν πολύσεμνον, ἀνὰ στόμα τῶν κακόφωνον
οὔνομα μαψιδίως μὲν ἔχων σκέπας αἱμυλίοισιν
ψεύδεσιν, οὐ τιμὴν ὑπαλύξει οἱ τοσσώτειραν.
μὴ θεολώβητῆσι κακηγόρον αἰθερεῶνι
ἀμφαίνειν ἔπος, οὔνομ᾽ ἐμὸν δὲ μουνοσέβαστον,
ἠὲ ποτ᾽ ἠλεμάτως ἀθεμίστιον ὅρκον ὀμόσσαι,
μήτε γοητείας ἀσκῆσαι δαιμονοδείκτους
ἢ ψευδηγορέειν, ἠὲ φένας ἐξαπατῆσαι
Ἀνθρώπων κρυπτοῖς δολεροφροσύνῃσι καὶ ἔργοις.
Ἀλλ᾽ ὅταν ἀμφιχάνοι σε νέφος δυστλήτου ἀνάγκης,
Ἀγκαλέειν τόδε μοῦνον ἰδ᾽ εὐχωλῇσι γεραίρειν,
εὐλογίης τε σεβασσιθέου ὕμνοισι λιγαίνειν,
τοῦ τ᾽ εὐεργεσιέων χάριν ἀντιπορίφονα τίνειν.

Tertium.

Σεμνὰ φυλασσέμεναι θεοτάκτου ἦμαρ ἑορτῆς.
ῥήματος ἀμβροσίου ἐνοπὴν σοφὸν οὐκ ἀθερίζειν
οὐδὲ θεοκλήτους ἀγορὰς ἔνθ᾽ ἐγρεσίπιστις
κηρύκων στόμασιν βομβεῖ θεοηχέσιν ὀμφή,
ἀλλά μοι εὐαγέως ἐχέμεν λόγον εὐθεόφωνον,
καὶ τοῦ φθογγοδόκων ἀκοάων κλεῖθρα πετάζειν
ἄσμενος, ὀτραλέως δεδαώς μιν ὀχέφρονι θυμῷ.

Θρεψιβίους

Θρεψιδίους γενετῆρας ἀεὶ τιμῇσι σεβάζειν, Quartum.
ὄφρα κεν ἀθρήσοις δηρὸν φαέθοντος αἴγλης
μαρμαρυγὴν, βιότου τε γαληνιάοις ἐνὶ πόντῳ,
εἰνὶ μελιστάκτῳ τήν σοι θεὸς ὤπασε γαίῃ.
Αἰδοίους τοκέας καὶ κηδεμονῆας ἀνώγω
μήτε τ' ἀτιμίῃσι παραξινόοισιν ἰάλλειν,
ἢ φρεσὶν ἐμβαλέειν κακίαις ὀλοῇσιν ἀνίας,
ἀλλὰ δόμων τιμὴν γεραρὴν, καὶ αἰὲν ὑπουργεῖν
ἠδὲ κελευομένοις αὐτοῖσιν χρηστὰ πιθέσθαι,
πρόφρονέως τε φιλεῖν ἢ ἔχειν σφέας κηρόθι σεπτῶς.
Μὴ ἀνδροσφαγίῃσι μιάστορα χεῖρα παλάσσειν. Quintum.
μὴ γὰρ ἐφημερίων ῥέξαι ἐξαίσιον ἀνδρῶν
οὐδ' ἀδικεῖν φλαυρῇσι κακορραφίῃσι νόοιο.
Ἀλλὰ φέρειν οἱ χεῖρα κακοῦ ἀλκτεῖραν ὀλέθρου,
ἠδὲ βοηδρομέειν ὁπόταν ἀκάθεκτος ἀνάγκη
οὖλος ἀμφιχάνοι μιν ὀλεθροφόροισι θυέλλαις.
Μὴ μορόεντι πόθῳ λέκτρον πεπυρωμένος ἄφρων Sextum.
μοιχίδιον φιλότητος ἀπορρήτοιο διώκειν.
σωφροσύνης σοι ἀεὶ τελέθοι σέβας ἀχράντοιο
ἔργοις καὶ ἐπέεσσι, καὶ ἁγνείης ἀμιάντου.
ἠδὲ τεῶν γανέων τε κακῶν τε σύνευνον ἑταίρην
ἐνδυκέως φιλέοις τε καὶ ἀμφιέποις περὶ κῆρι.
Μὴ κλοπίης ἀσκεῖν κλεψικτέανον κακὸν ἔργον. Septimū.
μήτινι κρύβδα βροτῶν ἀφέλοις δαμασίφρονα πλοῦ-
ἢ ψευδοπρασίαις ἢ ἐμπορίῃς ἀδικῇσιν (τον,

εἰς τὸν δυσκόρδλῃ οὐκ ἔνδικα κόλπον ἀγείρας,
ἀλλ' ἀπ' ἑῶν ἄπιν κτεάνων φθοροποιὸν ἀμύνοις
ὄφρ' οἱ σὺν κτεάτεσσιν ὀφέλλοιτο φίλος οἶκος.

**Octauum.** Ψευδέα μαρτυρίην μὴ εἰς ἑτέρους ἀναφαίνοις.
ἀμφ' ἑτέρου μὴ ἔπος ψευδηγόρον ἀνδρὸς ἐνίσποις.
ἠὲ ἵνα προδόμεν, λεγέμεν τε κακῶς ὑπὲρ αἶσαν,
ὄφρ' οἱ ἀεικελίη φάτις ἀνθρώπους ἀναβαίνοι,
ἀλλὰ κακῆς λώβης μιν ἀλεξικάκοις ἐπέεσσιν
ῥύσον, ἰδὲ καλῶς λέξον, καὶ ἔργματα πάντα
εἰς ἀγαθὸν κρίνον καὶ αἴσιμον ὅσσα τελείει.

**Nonum.** Μὴ ἑτέρου στεδόμου ἀζαίσιος ἵμερος αἴροι.
γείτονος οὐ θηρεῖν κεδνοῖο μεγήρατον οἶκον,
οὐ γὰρ φίλον κλῆρον πολυπλοκίῃσι νόοιο
ἢ ἐπὶ κρυψιδόλοισι δίκης προχήμασι σεμνῆς
κτήσασθαι, οὐκ ἀζόμενος φεσὶν ὄμμα προνοίης.
ἀλλ' ἵν' ἐνὶ μεγάροις κτεάνων σφετέροισιν ἀνάσσοι
ὀξαλέως μιν ὄνησον ἀρηγόνα χεῖρα τανύσσας.

**Decimū.** μὴ χαλιβλεφάροις σοι προσσαίνουσαν ὀπωπαῖς
μείλιχα σύλλεξον, ἢ μισθαρνῆ θεράποντα
γείτονος ἀγχιθύρου, ἢ ἀννυσίπονον θεραπαίνην.
οὐδὲ βόον ποθέειν οὐδ' ὀγκηστὴν ὄνον αὐτοῦ
οἷ' ὅσ' ἐνὶ μεγάροισιν ἑοῖς κειμήλια κεῖται.
ἀνέρος οὐκ ἑτέρου ὁμοδέμνιον ἡδυπάρηον
οἰκίην τε πόνον φιλοδέσποτον ἐν μεγάροισιν

ἐκτε-

ἐκτελέοντα φίλοις, καὶ κτήνεα ἐμπεδόμοχθα
πρόσσε τρέπειν ἐπέεσσι καθαπτόμενος μαλακοῖσιν.
ἢ ζυγὸν, ἐκπρολιπεῖν φυγοδέσποτον ὀξύνασθαι.
Ἀλλὰ νῦ παμμήστωρ σφίσιν ἦν ἐπετάξατο μοῖρα
Ἀτραπιτὸν στείχειν ἐθελόντως τοῖσι κελεύειν,
κ᾽ ἔργον ἐπρίχεσθαι καὶ ἐνὶ μεγάροισι πένεσθαι.
Σὸς θεὸς ὀβριμοεργὸς ἐγὼν καὶ ἔξοχος ἀλκὴν
ζηλωτής τ᾽ μέγα, ζάθεον πόλον ἀμφιβέβηκα,
ᾧ ῥα δίκην τίνουσιν ἀτασθαλιῶν φορεπότμων
εἰς γενεὴν τριτάτην ὀδυνηφόρον ἠδὲ τετάρτην
τέκνα κακοπρηκτέων ἢ ἀναίσιμα φεσσὶ φονεύντων
οἷσι θεοφοβοσύνης δὲ πέλ᾽ ἐν στήθεσσι μεμηλὸς
ἦτορ ἐχεζώου, καὶ ἐμῶν κατὰ μοῖραν ἐφετμέων
οἰκτροσύνην φαίνω πρηϋκράδιον καὶ ἐκείνων
εὐέρδω παῖδας ἄχρις ἐς γενεὴν χιλιοστήν.
Τοῖσι δίκην μύθοις δ᾽ ἐπιτιμήτειραν ἀπειλεῖ,
κοσμοκράτωρ σφετέρων παραβητήρεσιν ἐφετμέων,
τοὔνεκ᾽ ὀπίζεσθαι ἦν μῆνιν τισικακουργὸν
χρὴ βροτέην γενεὴν, καὶ οὐ λόγον ἐνθεόφωνον
θειοταγέων ἐπέων παραβαινέμεν, ἄφρονι θυμῷ.
Ἀλλὰ χέειν καὶ εὐοδίην χαρίεσσαν ὑπεχεῖ,
πᾶσι σεβαζομένοισιν ἐφημοσύνας σοφομύθους,
ἃς διέταξε βροτοῖσι φυλασσέμεν ἡμερίοισιν.
τοὔνεκεν εὐαγέεσσι φεσὶν θέμις ἐστὶν ἄνακτα
κοσμοσόον φιλέειν, καὶ ἄσειστον ἐς αὐτὸν ἐρείδειν

ἐλπίδα

ἐλπίδα καρτερόθυμον, ἵν' ἐμμαπέως θεοτάκτων
Ἀξαπιτὸν περάαν βιότοιο δότειραν ἐφετμέων.

Officium Legis.

οὗτος ἔφυ θεσμοῦ ἱερὸς λόγος αἰθερογράπτου,
ὃς μόνον ἀνθρώποισι κελεύει ῥεκτέα θνητοῖς,
καὶ φαυλοπραγίης θεομισέος αἰπὰ ἀάτη,
ἀμπετάσας ἀΐδεω φοβοπλήρεος αἰνὰ θύρετρα
ἀμπλακίαις στυγερῆς μεμιασμένον ἦτορ ἔχουσιν.
οὐδὲ παρὲξ αὐτοῖ δέπει πόνον ἐν μερόπεσσιν
ἄλλον, ὅσοι παίης βροτοχαυδέος ἔργα νέμονται
εὔτε βεβηλοβίοισιν ὁμῶς καὶ ἀχρηϊοεργοῖς
εὔτε παλιγνήτοισι βροτοῖς σφίσιν ἰλιοέσσης
εἰς ὅσσον σαρκὸς φθοροποιὸν ἐπέχραεν ἄχθος
ἀλλ' οὐκ ἱμερόεσσα χάρις τοῖς χριστογενήτου
εἰς ὅσον ἐν κραδίαις σφίσι πνεύματος ἡγεμονεύει
ἐν μερόπων πραπίδεσσι θεόφοσι καινολοχεύτων.
ὀτρύνουσα φονεῖν τε θεὸν καὶ χρήσιμα τεῦξαι,
ἀλλὰ παλαιογενὴς ἐφ' ὅσον ῥιπῇσιν ἐνικλᾶται
πνεύματος ἐσθλοπόνοιο, ἢ ἀνθρώπου νεογνήτου,
οὗ πραπίσιν κοσμαρχος ἐφιζάνει ἀγλαοεργός,
ὀτρύνων ἀτραποῖσι θεουδείης θεομοίου
ἐμβαίνειν ὀρθοῖσι ποσίν, καὶ χρήσιμα τεῦξαι.

ltera ars Cate- hismi, ymbolū postolo- um.

Σύμβολον ἀντιθέων ἑτάρων σωτῆρος Ἰησοῦ
συλλήβδην πᾶσαν γραφίδος θεοδωρήτοιο
δειξίθεον χωρεῖ σοφίης, πέλεταί τε κορωνὶς

σύνθημος

σύνθημα ἀνδρὸς σοῦ διδαχῆς, καὶ ὀρθοδιδάκτου,
ὅ, ττι κεν ἠγάθεοι χριστοῦ διδάκτορες ἁγνοὶ
συμποίῃ γνώμης θειόφονος εἰς ἓν ἰόντες,
θρέμμασιν ἄμφηναν μάνδρης ἐπίηρα φέροντες
χριστοφίλοιο, πρὶν ἀλλήλων ἀπὸ νόσφι γενέσθαι,
τέρματα πρὶν γαίης πολυχανδέα κοινομελάθρου
εἰσελθεῖν ῥυστῆρος ὠθιπομένους θεοῦ ὀμφῇ,
κηρύσσειν τε θεὸν καὶ ῥαίνειν σώματα φωτῶν
ὕδασιν ἀμπλακίαις ῥερυπωμένα θειολοέτροις.
τοῦ γὰρ ἤτοι φώνῃ μουσοφθέγκτῳ καταλέξω.

Γεννητὴν ἀκαμαντομένῃ ἔπι πίστιν ἐρείδω
ἀκλινῆ, μοῦνόν τε θεὸν καὶ θαυμασιουργὸν
κτίστορα οὐλύμπου καὶ τῆς ἀλιτέρμονος αἴης. Primus fidei articulus Creatio.

Πιστεύω κραδίαις σὺ ἀναμφήριστον ἐμῇσιν,
ὅττι πλάσεν με θεὸς ναίων πολυαστέρα θῶκον,
καὶ σὺν ἐμοὶ κτίσεας ἄλλας θαυμαστογενήτους,
καί μοι ἀεξίβιον ψυχὴν, καὶ χλωρὸν ὄπασσεν
σῶμα, καὶ ὀφθαλμοὺς περιφαέας ἐγκατέθηκεν
ἡμετέρῃ κεφαλῇ, λογοδέγμονας ἐν καὶ ἀκουὰς
πῆξε, καὶ ἄψεα πάντα βίου μεγάχρηστον ὄνειαρ,
καὶ λόγον ἰθυντῆρα βίου, ἄλλας τε προπάσας
αἰσθήσεις, καὶ ἐμῇ ἔτι παρμέμβλωκεν ἀρωγῇ,
ἡμετέρῃ βιοτῇ, ἐμὲ τ' ἤματα πάντα φυλάττει,
καὶ περὶ τῶν πόρεν σκεπασίχροον ἔμμεν ἔπαλξιν
καύματος ἐσθῆτα, καὶ στίβης ὀκρυοέσσης,

καὶ δορ-

τε δερμόῤῥαπτα ποσὶ παντοίοισι πέδιλα,
ἠδὲ ποτὸν διερὸν, καὶ βοσκησίμβροτον εἶδαρ,
οἶκόν τε, ἄλοχόν τε φίλην, καὶ ἀεξιγενέθλου
συζυγίης ἧας φυτὰ νήδυμα, χάρμα τοκήων,
καρποφόρους τ' ἀγροὺς, καὶ κτήνεα μοχθοφορεῦντα.
κτήματά τε ξύμπαντα, διδοὺς ῥυδὸν ἤματα πάντα
πουγυδεὴς βιότου δρόμος ὢν μογεροῖο χατίζει.
καί μοι ἀμφιχυθεὶς βλαβερὰς ἀπὸ κῆρας ἀλάλκει
σώματος, εἰρξικάκοις παλάμῃς καὶ ἐχέστονον ἄτην.
ᾗ ἀγαθοφροσύνῃ εἴξας πατρωϊοφίλτρῳ,
τε ἐλεημοσύνῃ, ἣ ἐπιῤῥαίνει με βέβηλον.
τοὺ νεκὲν οἱ θέμις ἐστὶν ἔχειν χάριν, ἀντί τε πάντων
ἄσμασιν ὑμνῆσαι θεοφθέγκτοισιν ἐπαίνων,
ἐνδυκέως τ' αὐτὸν θεραπευέμεν, ἠδὲ πιθέσθαι
ᾗσιν ἐφημοσύνῃς, ἅσμοι διέταξε φυλάσσειν.
οὗτος αὐσυνδίαστος ἔφυ καὶ μῦθος ἀληθής.

Secundus articulus fidei de redeimptione.

Ἔς τε βροτοσωτῆρα τίθημι θεόφονα πίστιν,
ἥα μεταθανέταο υἱῆος μουνογένητον,
ἐκ θεοπροβλήτου καθαροῖς σπλάγχνοισι μιγέντα
πνεύματος, ἠδὲ κόρης θεονύμφου ἐκγεγαῶτα,
ἄλγεα πολλὰ παθόντα καὶ ὕβριας οἰκτρὰ προέδρου
ἑβραίων ἀθέων ἐν ἀρειχείστοιο Πιλάτου.
καὶ τετρασκόλοπι ζαθέοις μελέεσσι ταθέντα
ἐν σταυρῷ, κρυεροῦ τε πειρήσαντα μόροιο,
ἠδὲ λιθοξέστῳ ἐνὶ τύμβῳ ταρχυθέντα.

εἰς

εἰς ἀΐδεω καταβάντα πολυθρήνοιο βέρεθρα,
ἤματί τε τριτάτῳ πυλίδας ῥηγνύντα μόροιο,
οἰκησίν τε λιπόντα βροτῶν ζοφοειδέα νεκρῶν,
καὶ πάλιν οὔλυμπόνδε βεβηκότα, καὶ γενετῆρος
πρὸς κοσμοκράτορος παντοτόου ἑδριόωντα
δεξιτερὴν, δυνάμει κρατερῇ μέγα κυδιόωντα,
ἤμαθ' ὅθεν δικάσων ἵξει πάλιν ὠλεσικόσμῳ
ζωόντων τε γένος μερόπων κατατεθνεώτων τε.

Πιστεύω ἐνὶ φρεσὶν ἀναμφήριστον ἐμῇσιν,
χριστὸν ἀναρχογενῆ πατρὸς γόνον ἀϊδίοιο,
υἱέα τε Μαρίης ἀχράντου θνητογένητον,
κοίρανον ἔμμεν ἐμὸν, καὶ ἐμὸν θεὸν ἀξιέπαινον,
ὅς με πολυκλαύθμοις βαρυδηλητῆρος ὀλέθρου
κείμενον ἐν δεσμοῖσι, κατακριθέντα τε λυγρέων
εἵνεκεν ἀμπλακιέων ἐρρύσατο, κοιρανίης τε
σύμμοιρον τεῦξεν σφετέρης καὶ κτήτορα σεμνὸν,
καὶ με βίῃ στυγερῶν πεπεδημένον ἀμπλακιάων,
καὶ θανάτῳ ἔνοχον γεγενημένον αἰνοδετῆσι,
Δαίμονί τε λύτρωσε, καὶ ἐκ κακότητος ἔρυσσεν,
οὐ χρυσοῦ δώροις φθερεκόμπου, ἢ ἐριτίμῳ
Ἀργυρέῳ ἀλλὰ ζωοσάκτῳ ἑῷ λύθρου
πολυτελοῖ τ' ὄμβρῳ, καὶ ἐπὶ νηλιτέϊ πείσει,
οἰκτίστῳ τε μόρῳ, ὃν ὅπως ἴδιον κτέαρ οἴην,
καὶ ἐν ἀνακτορίῃ σφετέρῃ εἰρηνεύοιμι οἱ,
καὶ οἱ λατρεύοιμι δικαιοσύνης θεομοίου

κάλλεσιν

καλλεσιν εὐπρεπέεσσι κεκασμένος ἐμμενὲς αἰεί,
ἠδ᾽ ἁγνοφοσύνῃ καθαρόφονι καὶ μακαρισμῷ,
οἷάκεν ἐκ θανάτου ἀνστῆσε ξιημβρονύκτου
Αὐτὸς, κδυσινέκρου λειπὼν χθονὸς εὐρέα κόλπον,
καὶ ζώει ἐν ἀτερμάντῳ καὶ ἀγήραϊ κύδει,
μακροχρόνους τ᾽ αἰῶνας ὀλύμπῳ ἐμβασιλεύει.
οὗτος αἰενδοίαστος ἔφυ καὶ μῦθος ἀληθής

Tertius articulus de Sanctificatione.

Πνεῦμα καὶ εἰς ἱερὸν κραδίῃσιν ὅλῃσι τίθημι
πίστιν ἀσειστόνοον, καὶ σύλλογον ἐνθεόλαον
ἔμμεναι ἐν κραδίαις πιστεύω ἀστυφέλικτον
καὶ κοινωνίην ἁγίων σύμμοιρον ἁπάντων,
Ἀμπλακιέων τ᾽ ὀλοῶν ἄφεσιν λυσήνορα, σαρκὸς
καὶ καινωσιάνειραν ἀνάστασιν ἀνδρομέοιο,
καὶ στάσιν ἀφθάρτου ζωῆς καὶ ἀνέσπερον ἦμαρ.

Ἀτρεκέως πραπίδεσσιν ἐν ἡμετέρῃσι πέποιθα.
Αὐτοκυβερνητὶ οἷόν με καὶ αὐτοθελοντὶ
οὐκ ἔμεν ἐς Χριστὸν ζωαρκέα πίστιν ἐρείδειν,
Ἀλλά με πνεῦμα θεοῖο διὰ χαειτόθροον ὀμφὴν
ἐγγεβίου εὐαγγελίου ἀπιθεῦντα κάλεσσεν,
καὶ σφετέροις γεράεσσιν ἐμὸν κατεφώτισεν ἦτορ,
ἥγνισέ τε, καὶ ἔσαωσεν ἐνὶ νημερτέϊ πίστει,
ὥσπερ ἂν εὐρώεντα βροτῶν θεοκηδέα κόσμον
σύλλογον ἐκκρίνει, καὶ ἴην ὑπὸ πίστιν ἀγείρει.
καὶ καταφωτίζει φαεσίφοσιν ἀκτίνεσσιν,
καλλοσύνῃ θ᾽ ὁσίης ἐνδύετ᾽ εἰκελοχρίστου

καὶ σφίσι

καὶ σφίσι μυθογένειαν ὑπὸ στήθεσσιν ἀέξει
πίστιν, ἀειτεθαλῆ ἀν ἰσόφονα, ποτμοβαρείας
εἰν εἰρηνοφόρῳ χριστῷ ἀποπαύσσει λώβης,
ᾧ ἔν' ἐμὲ καὶ πάντας ἐνὶ φρεσὶ πίστιν ἔχοντας.
αἰὲν ἀμαυροσυνέων ἀπολύει ἐγρεσιθρήνων,
καὶ πυματοκρισίης εἰν ἤματ' ὀπισατοφάντῳ,
μὲ ξὺν ἀποιχομένοισι φίλου βιότοιο, παροίκοις
νεκροδόκου ἀΐδαο, παλίμβιον ἐς φάος αὖθις
αὐστήσει νεοφεγγὲς, ἀτερμάντου τε βιώνης
ἐς στάσιν ἀπήσοντα καρικίσσει με πάναγνον
συμμορφίῃ σὺν ὅλῃ ζαθεόφρονι εἰκελοχρίστῳ.
μῦθος ἀνενδοίαστος ἔφυ καὶ ἐτητυμόφρων.

Ἀλλὰ κάλεσσι θέοιο τρόπον σωσίμβροτος υἱὸς
εὐχῆς, ὑψίστοιο βροτῶν γένος ἐξεδίδαξεν,
συλλήβδην χωρέων ἐνὶ δεσμῷ ὅσσα βρότεια
φῦλα μέγαν τελέσαι λίσσονται ποιμένα κόσμου,
πνεύματος ὅσσα πέλει καὶ οὐκ εἴδουσι τελευτὴν,
ἠδὲ ῥέα φθιμένοιο βίου καὶ σώματος, ὅσσα
μοῦνον ἐπὶ χρόνον ἐστὶ, πάλιν τέκμωρ τ' ἐπιθήσει
τοῖς κοσμορραίστειρα φανοῖ ὅταν ἠριγένεια.

Tertia pars Catechismi oratio Dominica, in qua petimus bona spiritualia & corporalia.

Τοῖς θεὸν ἀμβῶσαι χριστὸς δ' ἐπέεσσι κελεύει.
ὦ πάτερ ὃς μεγάροις ἐνὶ τέρπεαι ἀστροφόροισιν.

Procœmiũ orationis Dominicæ.

Τοῖσι γαληνολόγος χριστὸς μύθοισιν ὀρύνειν
θυμὸν ἐνὶ μερόπων ἀνθρώπων στήθεσσι μενοινᾷ.
ὄφρα κεν ἀστυφέλικτον ἐνὶ φρεσὶ πιστεύοιμεν



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0057

ἔμμεναι ἐκ θνητῶν ἔτυμον γενήτορα πάντων,
ἡμεῖς δ' αὖ τέκνα σφετέρῳ κεχαρισμένα θυμῷ,
προπροκυλινδόμενοι ἵνα οἱ εὐξαίμεθα πάντες
πίστιν ἐνὶ κραδίαις νωμῶντες στερρόθεμεθλον,
οἷα καθάπτονται γενέτην φίλα τέκνια κεδνὸν
ῥήμασι μειλιχίοισι, παρισταδὸν ἐμπεφυῶτες,
σαίνοντες τελέειν σφετέρῳ πεποθημένα θυμῷ.

Prima petitio.

οὔνομα σεῦ ἁγίως ζάθεον μετὰ πᾶσιν ἔχοιτο,
ὅ, τι κεν εὐάγιον καὶ θέσκελον ἐστὶ δι' αὐτοῦ,
ἀλλ' ἐνὶ τῇδε φρενὶ στερεῇ λιτέμεσθα προσεύξει,
ὕμμιν ἀείσεπτον καὶ εὐαγὲς ὄφρα γένοιτο.

Τοῦ γὰρ ἄρ' οὐκ οἷον μετ' ἐφημερίοισι γενέσθαι,
εἰ μὴ ζωοφόρος διδαχὴ θεοδείκτορος ὀμφῆς,
ἐν θεοκηρύκων βομβεῖ στομάτεσσιν ἄθωος,
νόσφι λογοπλέκτων ἀπατᾶν, καὶ ψεύδεος αἰσχροῦ,
ἠδὲ κατὰ σταθμὴν ἡμεῖς κύριον κέλευθον
ἀπλάγκτου βιότου ἰθυνόμενοι ὀρθοβατεῦντες.
τοῦτο πάτερ τέλεσαι εἰν ἡμετέρῃς πραπίδεσσιν,
ὃς ῥίον ἀστεροφεγγὲς ἔχεις νιφόεντος ὀλύμπου.
ὃς δὲ παρὲξ τούτου ἐλάσῃ δρόμον ἀτραπιτοῖο,
ἢ λωβῆσι θέοις διδαχῆς, ἢ ἀντιθέοισιν
ἤθεσιν ἐκτραπέλου βιότου, γενέται ὁ βεβηλοῖ
οὔνομα πανδυνάριο, μόνον πάντεσσι σεβαστόν,
τοῦτ' ἀπαλεξιμέειμνε πάτερ ἡμῶν ἀπαλαλκεῖν.

Secunda petitio.

ἐνθάδε σὴ βασιλῇ ἁγιασιάνειρα βρυάζοι,

ἤρα

ἦρά κεν αὐτοφόρητος ἄτερ λιτέων καὶ ὄρωρεν
ἡμετέρων, τῇδ' αὐτὰρ ἐνὶ δεόμεθα προσεύξει.
ὄφρα καὶ ἡμέτερον κέαρ ἰθύνειε βίον τε.

Πρὸς δ' ἡμᾶς βασιλὴ τότε δὴ θεόπεμπτος ἱκάνει
εὖτε μεταθενέτης γενέτηρ φαεσίζοφον αἴγλην
πνεύματος ἐνσταλάει πραπίδεσσιν φωτισιθύμου,
ῥυσικάκοις σφετέρων ἐπέων διδαχῇσι πιθέσθαι.
ἣν δὴ τήνδ' ἄμμιν χάριν ἐνθεόδωρον ὀπάζει,
εὖτε θεοσεβίης καθαροὺς στείχοντες ἀταρπεῖς,
ἕλκωμεν ἰσόθεον βίοτον μογερῷ ἐνὶ κόσμῳ,
εἰσέτι λεπταλέον μυκτηρόθεν ἀμπνείοντες
ἠέρα, καὶ βιότου ἐν ἀεὶ θαλερῷ διαγωγῇ.

Ἐν χθονὶ καὶ κραίνοιτο θέλημα σὸν ὡς ἐν ὀλύμπῳ. Tertia petitio.
χρηστόνοος δὲ θέλησις ἐνὶ πλέος εὐελέοιο
οἰκτροσύνης, βασιλῆος ὑπερζαθέου καὶ ἀφάστου,
κραίνεται αὐτοτέλεστος, ἄτερ καὶ ἡμετεράων
εὐχάων, ἐνὶ τῇσιν ἀτὰρ λιτόμεσθα προσευχαῖς,
ὄφρα καὶ ἡμετέρῃσι ἐνὶ πραπίδεσσι θεοῖο
νεύμασιν ἠπαθέοισιν ἀεὶ σύμφωνα γένοιτο,
ὅσσα κεν ἐν στήθεσσι τελείεται ἡμετέροισιν,
εὖτε θεὸς πάσαις κακοβουλοσύνῃσιν ἐνικλᾷ,
οὐλοά τ' ἰσχανόωντας ἐνὶ στήθεσσιν ἐρύκει,
πάντ' ἀπομαξάμενος πραπίδων κακοτρεπέα ῥιπήν,
ἁγνὸν ἐρυκανόωσαν ἀεισέπτου ἁγιασμὸν
οὐνόματος, καὶ ἑῆς βασιλείης, ὥσπερ ὄρωρεν

Δαίμονος ἀνδροφόνοιο ὀλεθριόδωρος ἐρωὴ
κόσμου τε βλαβεροῦ καὶ σαρκὸς ἐρασικάκοιο,
ἡμετέρης τ᾽ ἐνὶ καρδίης ἵει φρεσὶν ἀστυφέλικτον,
πίστιος ἐμφῦναι ἀῤῥηκτοπαγέασι θεμέθλοις
ῥήματος ἀμβροσίου τε βιαρκέσιν ἐμμενὲς ὄμφαις,
εἰς λυσίζωον δρόμον ὥρης ἐσχατοώσης,
ὄφρα θεοῖο θέλημα τελεῖ ἀπανόν τε καὶ ἐσθλόν.

Quarta petitio.

Σήμερον ἄμμιν ὄπαζε πατὴρ ἐπιούσιον ἄρτον.
ὑψιμέδων δὲ πορεῖ ἐπιουσιοθρέμμονα πᾶσιν
ἄρτον ἀλιτροσύνης καὶ ἀεικέος ἐργαστίνῃσιν,
οὐκ ἐπικλεκομένοισι ἑ πανσθενέεσσι προσευχαῖς.
κηρόθι ἀλλ᾽ εὐχαῖς λιτανευόμεν ἡμετέρῃσιν
ἀμφὶ μάλα πραπίδεσσιν ἐνὶ μυχάτῃσι νοῆσαι
δῶρα θεοῦ, κάρτα ἀπολαῦσαι παντοβοτῆρος,
θελξιθέου χάριτος στόμασιν μέλος ἡδὺ κρέκοντες.
ἄρτος ἀτὰρ λέγεται ἐπιούσιος, ἐμπεδόμοχθος
ναυτιλίη ὅσσων χατέει βιότοιο μογηρός,
αἰὲν ἀμηχανίῃσι περιστεφθεῖσα πενιχροῖς,
οἷον ἔφυ βόσις ἠδὲ ποτῆς καὶ χείματος ἄλκαρ
εἵματα ἠδὲ πέδιλα, καὶ οἷς σὺν κτήμασιν οἶκος
καὶ ἀγροὶ γόνιμοι καὶ θρέμματα χρήσιμα θνητοῖς,
καὶ κλῆρος πάντεσσι φίλος καὶ ὄλβος ἐραννός,
ἐργάτις εὐσεβίης καὶ πεισάνειρα σύνευνος,
θευφοσύνης καὶ τέκνα μεμηλότα ῥυσανείρας,
δρηστῆρές τ᾽ ἀγαθοὶ καὶ κράντορες, οἳ ῥα θέμιστας

εἰρύαται

εἰρύαται κόσμου πρὸς πατρὸς ἀναρχογενήτου,
καὶ εὐηγεσίη εἰρηνοχαρὴς καὶ ἐραννὴ
ἠέρος εὐκρασίη, καὶ ἡσυχίη πολύολβος,
χαρμοσύνης τ' ὑγίεια θαλυκρὸς ἄνασσα γλυκείης,
ἠδὲ σαοφροσύνη καθαρὴ, καὶ κυδιάνειρα
τιμὴ, ἠδὲ φίλοι πιστοὺς φρεσὶν ἐσθλὰ φρονεῦντες,
γείτονες ἀγχίθυροί τε αἴδριες ὕβριος ἔργων,
καὶ τοῖσιν πάντεσσιν ἐοικότα πολλὰ καὶ ἄλλα.

Ὀφλήσιν πάντεσσιν ἄφες πάτερ ὑψιμέλαθρε, Quinta petitio.
οἷον ὀφειλητῆρσι καὶ ἔρδομεν ἡμετέροισιν.
τοῖσιν ἐνὶ δεόμεσθα φίλοι ἐπέεσσιν ἔφηβοι,
παγγενέτωρ ναίων ἀστερόμματον οἶκον ὀλύμπου,
μὴ ξύμπαντα διαπρὸ πεφυρμένον ἀμπλακίῃσιν
ἐμβλέψας ἀνόμοισι βροτὸν φθοροποιὰ πονεῦντα,
τήνδε θεοκλήτειραν ἀπαρνείοιο προσευχήν,
οὔτις ἐπεὶ μερόπων κείνων πέλεν ἄξιος ἀνδρῶν,
ὅσσα καλέσσι θεῷ τελέειν λιτόμεσθα προσεύξει,
Ἀλλ' ἵνα προίκια πάντα διδῷ θεὸς ἱλαόθυμος
αἰὲν ἐπεὶ σπερχνηδὸν ἀγείρομεν ἀμπλακιάων
συρφετὸν ἀπερέσιον, καὶ ἄξιον ἀλγεσιδώρου
ἕλκομεν ἐμμενέως ζωὴν δεινοῦ τε χόλοιο,
Δὴ τότε καὶ περὶ κῆρι ἀμοιβαδὸν ἠπιοθύμως
πᾶσιν ἐφυβρίζουσιν ἀτασθαλίῃσιν ἑῇσιν
ἡμέας, εὐμενέως συγγνώσομεν, ἐκτελέοντες
ἔργα φιλοφροσύνης πανενηέα μειλιχοφίλου.

Sexta petitio.

Μηδέ ποτ' εἰσαγαγεῖν πειρασμὸν δ' ἐνομέειμνον
ἡμέας, οὔτινος οὔτι πέλει στυγερώτερον ἀνδρί,
ὑψιμέδων μὲν ἄναξ ἐφίησι βαρύστονον ἀνθρώπων
οὔτινι πειρασμόν, τῇ ἀτὰρ λιτανευόμενοι εὐχῇ,
ἣν παλάμην ἡμῖν ἵν' ἀλεξιμέειμνον ὑπόρχοι,
μή ποτε οὐλόμενος Σατανᾶς, καὶ κόσμος ἀλιτρὸς
σάρξ τε κακουργήσασα μόρον τε φέρουσα βροτοῖσιν,
κρύβδα κακορραφίῃσιν ἑῇς φρένας ἠπεροπεύοι
ἡμετέρας, καὶ ἐς οἶστρον ἀπιστοσύνης ἀθέοιο
βάλλοι, καὶ στυγερῇσιν ἐνκλήσοι φίλον ἦτορ
δειξιμόροις συνοχῇς καὶ μεμφιθέοις ἀπειθείαις.
καὶ ἐάοι αἴσχεσιν ἀπορρήτοισι πελάζειν,
ἠδὲ κακουργείαις ἄλλοις πλέεσι καὶ αἰνοῖς.
καὶ βαρυοξύσμοις πειράσμασιν ἀμφιπεσοῦσιν
ἐνστροπαλίζεσθαι δοίη ἄτερ πήματος αἰνοῦ,
ἀλκῇ θαρσύνουσιν ἐγερσιβίοιο λόγοιο
ἀμπνεῦσαί τε κακοῦ, νίκην τ' ἀμέειμνον ἑλέσθαι.

Septima petitio.

Ἀλλὰ πάτερ ἀπόρυσον ἀεικέος ἄμμε κακοῖο,
οἷά τε συλλήβδην τῇ ἐνὶ δεόμεθα προσεύξει,
ὄφρα πατὴρ νομόων μεγάλου οἰκεῖα κόσμου,
ἐξερύσειε κακῶν σφετέρῃ χειρὶ ἄμμε προπάντων,
ὅσσα δέμας τυχήν τε φίλην νῦν ἀμφιφέρονται
καὶ οἶκον, φήμην τε βίου ὀνομάκλυτον ἐσθλοῦ,
καὶ ἀπρηξίβιος σφέτερον δρόμον εὖτε τελέσσει
ὥρη, καὶ θανάτου ῥέψει κρυεροῖο τάλαντα,

ὄλβιον

ὄλβιον αἰνομόρου ἀναχώρησιν βιότοιο
δοίη, ἢ καὶ κακῶν βιότης ἄλγεσι δείρας
ἐκλύσας, ζαθέοις σκηνώμασιν ἐγκατανάσσοι,
οἷσιν ἐνὶ ζώει μεδέων ὑψίθρονος. ΑΜΗΝ.

Expositio vocis Amen.

ᾗ τινι δὴ λέξει ὑμᾶς πολύσεμνος ἀνώγει
Χριστὸς. ἀναμφήριστον ἔχειν ἐν στήθεσι πίστιν,
ἄσμενον ἀμπετάσαι λογχανδέας οὐρανόφοιτον
ἡμετέραις εὐχῇσιν ἀκουὰς παμβασιλῆα,
Αὐτὸς ἐπεὶ τοῖσιν κέλεται ἐπέεσσι κικλήσκειν,
καὶ τελέσειν ξύμπαντα ὑπόσχεσε ὡς κατένευσεν
προφρονέως, Ἀμὴν Ἀμήν, τοῦτ' ἐστι γενέσθω
Ναὶ ναὶ ἡμετέραις τὰ πόθος φρεσὶν ὧδε γενέσθαι.

Quia assiduè orandum est, certum etiam aliquod tempus pijs precibus & gratiarum actioni tribuendum est.

Αὐτὰρ ἐπεὶ πάντεσσι χρεὼ κικλησκέμεναι εὐχαῖς
παγκτίστην, ἀπάτερθε μεθημοσύνης τε, ὡς αἰεὶ
ὄμματα καὶ παλάμας εἰς αἰθέρα δῖον ἀναχεῖν,
καὶ μογερὸν μερόπων βίον ἀμφικυλίνδεται αἰεὶ
καμμορεέων στυγερέων ὠλεσιάνειρα καταῖξ,
ἀγκαλέειν ὄρσασα θεὸν λυτῆρα κακοῖο,
ὡς κόσμου μεδέων μισόμβροτος οὐλοότεχνος
ἀρτύνει πολύδακρυν ἀεὶ μερόπεσσιν ὄλεθρον,
οἷα λέων βρυχηδὸν ἀλώμενος ἔνθα καὶ ἔνθα
ἀμφὶ βροτούς, δεινοῦ παύστειραν λήϊδα λιμοῦ
γαστέρι πεινάων διζήμενος εὐρυτένοντι.
τοὔνεκ' (ἐπίκλησις γὰρ ἐπίσχεσίς ἐστι κακοῖο)

ἐμμενέως εὐχῆς βιόδωρον ἄνακτα γεραίρειν
αἴσιμον, ἠδ' αὐτῷ χάριν ἔμφονα μνήμονι θυμῷ
ἀντὶ βαθυπλούτων κελαδεῖν εὐεργεσιάων,
ἅσιν ἀεὶ πίμπλησι βροτῶν ἐπιδευέα κόλπον.

Oratio matutina seu mane cubitu surgentis.

Τοὔνεκα φαινομένου ὄρθρου παλινάγρετος ἀνστὰς,
κῆρ τ' ἀμψυξιμελεῖ γλυκερὸν κεκορημένος ὕπνῳ,
σῶμα τε ξαστόρθυγγος ἐπιγράβδην κενομόρφῳ
σὸν σταυροῖο χάρακτε τύπῳ, τάδε ῥήματα λέξας.
ὄρνυμαι ἐξ εὐνῆς εἰν οὐνόματι ζαθέοιο
πατρὸς, ἀειζώουτε γόνου, καὶ πνεύματος ἱροῦ.
ἤπειτα δ' ἐείπων γνὺξ ἠὲ παρασταδὸν εὐνῇ,
σύμβολον ἢ εὐχὴν χριστοῦ κατάλεξον Ιησοῦ
εἰ δὲ φεσὶν φίλον ἐστὶ τεῆς ἅμα τήνδε πρόσευξιν.

Σοὶ χάριτας γενετὴρ ἐρέω χαριτώνυμε υἱὸν
μουνογενῆ διὰ χριστὸν, ἐμῆς λυτῆρα γενέθλης,
ὅττι κεν ἔσκεπε χεὶρ με τεὴ, καὶ ἔσωε πρόπαντα
αὐτονυχεὶ κεφαλῆς ἄτερ κίνδυνον ἡμετέροιο,
καὶ ἄτην φρενέτερμον, ἀεὶ βροτὸν ἀμφιποτεῦσαν.
καί σε πατὴρ ἱκέτης εὐχῆς ἐπὶ τῇσι κικλήσκω,
νῦν ἐπιτελλομένοιο μεήματος ἠμβρίοισιν
εὐδυκέως τε φυλαττέμεναι, καὶ ἀμπλακιάων
ἦτορ ἐμὸν ἀσκησικάκων ἀπερυκέμεν ἔργων,
ὄφρα τεῷ τελέῳ θείῳ κεχαρισμένα θυμῷ,
ἤθεά σοι τε πρόπαντα βίου διὰ παντὸς ἀρέσκοι
ἡμετέρου, καὶ ἐμὸν θνητὸν δέμας, ἠδὲ θεουδὴς
ψυχὴ,

ψυχὴ, καὶ ὅσσα μοι πέλεται, ἐνὶ χείρεσι κείσθω
ἁγνὲ τεῇσι πάτερ φιλοπρόμμαχον αἰθέρα ναῖον.
πρόπολος οὐράνιός μοι στῇ κεκορυθμένος ἀλκῇ,
ἐν πάντεσσι πόνοις παρσταίη, ἠδὲ φυλάσσοι,
μή με κακὸς δαίμων ὀλοφώϊα μήδεα εἰδὼς,
πήμασιν οὐλομένοισιν ἐνηλήσειε καὶ ἄταις.
Αὐτὰρ ἀφροντίστως εἶτα καὶ γηθόσυνος κῆρ
ἔργων ἐπίχεσθαι, ὅ, ττι σοι μετὰ χείρεσιν ἔστιν
μολπάζων ἱδρόντι μελύδρων, ἠὲ νόμοιο
θειογράφοιο λόγους, ἢ ὅ, ττι σε θυμὸς ἀνώγει.

Ἀλλὰ λεχόσδε κιὼν καὶ ὀκνηρὸν δέμας ὕπνου
Ἀμφύξων στώροις λιαροῖσιν νηδυμοεργου,
σῶμα τύπῳ σταυροῖο ἐπίγραφε τετραπτέρμνου,
νειόθεν ἐκ κραδίης τε λόγον μύθησον ἐκεῖνον.

Κακκείων βαίνω εἰν οὐνόματι ζαθέοιο
πατρὸς, ἀγεννήτου τε γόνου, καὶ ἀήματος ἱροῦ.
εἶτα δὲ πρόχνυ πεσὼν, στῆ ἠὲ παρασταδὸν εὐχῇ
σύμβολον, ἢ εὐχὴν χριστοῦ κατάλεξον ἰησοῦ,
εἰ σὲ κέαρ κέλεται λέξον καὶ τήνδε πρόσευξιν.

Οἶδα τεὶν χάριτας γενετὴρ διὰ πανσόον υἱὸν
ἰησοῦν, ῥυστῆρα βροτῶν, καὶ ποιμένα θνητῶν,
ὅττι με ἤματι τῷδε πανίλαος ἀμφιβέβηκας
καμμορίων τε κακῶν ἐρρύσαο ἀλκὶ κραταιῇ,
προπροκυλινδόμενος γουνεῦμαι, ἡμετέρῃσιν
συγγνώμην κακίαις παρέχοις, καὶ εἴ τι τέλεσσα

Oratio vespertina seu vesperi cubitũ euntis.

αἴσυλον ἐγκακοῖσι φέρων ἐπίκρα πάθεσσιν
πάμπαν ἐπιτρέπτον ζοφεροῖς βυσσώμασι λήθης.
καί μοι ἀλεξιόλεθρον ὑπέρσχες ἀέναε χεῖρα,
ἡμῶν αὐτονυχεὶ ἀποσείσας πήματα πάντα,
σῶμα γὰρ ἡμέτερόν τε πρόπαν, ψυχή τε θεουδής.
καὶ ὅσσα μοι πέλεται ἁγίαις ἐνὶ χείρεσι κείσθω,
ἁγνὲ τεῇσιν ἔχον πάτερ αἰθέρος ἔμφλογα θῶκον.
πρόπολος αἰθέριος μοι σῇ κεκορυθμένος ἀλκῇ
νυκτὸς ἐνὶ σκοτίαις παραστάιη, ὅς με φυλάσσοι
μὴ βροτοδηλήτων κασμούμενος αἴσχεσι δαίμων,
πήμασιν οὐλομένοισιν ἐνικλήσοι με καὶ ἄταις.
εἶτα δὲ δῶρον ἔλοις γλυκερὸν λυσήνορος ὕπνου
γηθόσυνος, θυμοῦ ἄτερ κήδεα πάντα διώκων.

Preces ad singulas personas diuinitatis.

Ἐξονομακλήδην δ' ὑπόστασιν ἥσιν ἑκάστην
ἀγκαλέειν εὐχῇς ἐνὶ λισσομένους ἐπέοικεν.
παμπρώτην γενετῆρα φάος τριάδος μονοσέπτου,
κικλήσκειν ἐπέεσσιν ἐνὶ ῥίσδεσσιν ἀνώγει.

Ad Deum patrem.

Ἄφθιτε, παγσθενέτα, ἀέναε, ὑψιθόωκε,
Δέσποτα καλλιδόμοιο θεὸς δυνατώτατε κόσμου,
ὅστ' ἀπάνευθε τέλους διάγεις ἀπάνευθέ τε ἀρχῆς.
Αὐτογένεθλε πάτερ κοσμορρυστῆρος Ἰησοῦ,
ὃς σαυτὸν ζοφόεντι, κακῷ, ἀποδείξαο κόσμῳ,
εὐμενίην φήνας ἀπανόφθονα, καὶ φιλότητα.
Αἰθέρος ἐκκατιδὼν ὃς ἐφημερίοισιν ἐδόρκεις,
υἱέα κηδήνας ὁμοούσιον, ἐν προχοῇσιν

σῶμα

σῶμα παρθενίοιο λελουμένον ὕδασιν ἁγνόν.
οὗτος ἐμὸς πέλεται πεφιλημένος ἔξοχα θυμῷ
υἱὸς ἐμῷ, τοῦ μοῦνον ἀκούειν πᾶσι κελεύω·
ποικίλης κτίστηρ τε κυβερνητής τε πρὸ πάντων,
σὺν συνδυωμένῳ καὶ ἧϊ συναύτῳ γενήτῳ
ὅσπερ ὑπεράῤῥητον φῆνεν θεότητα βροτοῖσιν
ἐν θεοδμήτῳ πολιέθρῳ ἱεροσολύμων,
καὶ σοὶ ἐπουρανίοις μετάροισι συνεμβασιλεύει
ἄλκιμος, ἀΐδιος σὺν ἀκτῇ φωτοδοτῆει,
πλήθει τῶν χριστοῦ θεραπόντων δωδεκαρίθμῳ
ἀχθομένοις πέμψας ὀδύνης παράκλητον ἐρανόν,
μουνόσοφος καὶ χρηστὸς ἔχων ἐλεήμονα θυμόν,
σεμνὸς ἀνίκητος πανελεύθερος, αἰὲν ἐνοικῶν
ἀχράντως φλιγερὴν φορεφεγγέος ἕδραν ὀλύμπου,
ὅς ῥα πιφαυσκόμενος θνητοῖς μερόπεσσιν ἔειπας.
Ναὶ μὰ ἐμὴν ζωὴν πανόλβιον, ἀμπλακοεργοῦ
οὐκ ἀδικοπρηκτῆρος ἐμοὶ φίλος ἐστὶν ὄλεθρος.
Ἀλλ' ἵν' ἀλιτρόβιος λείποι φρενέτειμον ἀταρπὸν
καὶ ζώοι θυμηρὲς ἐμοὶ καὶ ἡδὺ τέτυκται.
θλίψεος ἀγκάλεσον με ἐν ἤμασιν ἐγρεσιθρήνῳ
καὶ σοὶ ἀλεξητὴρ ἔσομαι, καὶ ἕτοιμος ἀρηγών,
καί συ ἐμὸν λιγυροῖσι κλέος στόματεσσιν ἀείσεις.
ἵλαθί μοι γενετὴρ προάναρχος ἐὼν καὶ ἀληθὴς
μοῦνος, ἀειζώωντε, τεὴν ἐλεητὺν ἐραννὴν
σύμμηνίην τ' ἔνστιχον ἐμοὶ διὰ χριστὸν ἰησοῦν

Αγχιφανῆ

Ἀγχιφανῆ, σύγγνητον, ἀθέσφατον, ἀμβροτοκυστῆ,
Ἀμπλακίεων τὸν ὑπὲρ κόσμου κακοτερπέος αἰνῶν
ὤπασες, ὄφρα πέλοι σφάγιον καὶ θῦμα πανάγνον,
καὶ ἱκέτης μεσίτης τε φερέσβιος ὑψιμέδοντος
μεσσηγὺς βασιλῆος, ἐφημερίων τε γενέθλης.
ῥήματος ἀνδροσόου ἁγίαζέ με σώφρονι φωνῇ,
ἴθυνον καὶ δεῖξον ἐμοὶ ἀνόλεθρον ἀταρπὸν,
ὥς με κυβέρνησον, μὴ ἀπόδρομον οἶμον ὁδεύσω.
ἡμετέρην κραδίην καταφώτισον ἀχλυόεσσαν
ἀκτῖσιν νοεροῖς, διὰ πνεύματος εὐθεοφώτου,
ὄφρ' ἐν ἐμοὶ λαμπτῆρσιν ἐγερσινόοισι φαεινοὶ
γνῶσις ἀλεξίμορος πέλει σου καὶ ἀστυφέλικτον
θυμὸν ἔχω πίσυνόν σοι, καὶ ἀστεμφεῖ πίστει
ἀγκαλέω σε χάριντ' ἐρέω σοι ἔμφροσιν ὕμνοις,
καὶ ἐπιπείθωμαι χθαμαλοφροσύνῃ συγκόμπῳ,
ἣν ὑπέκλινας ἀγιορρήτοισιν ἐφετμαῖς,
ἐλθὲ καλεσσαμένοις κακαμύντωρ καὶ ἐπαρηγὼν
ὄμβριμος, ἀγκαλίδεσσιν ἐνὶ ζαθέοισιν ἀέξε
χριστοσεβέος σύγκληρον ὁμίλου εὐθεόλαον
ἐμμενέως, ἀπάμυνε τ' ἀεὶ φρενώδυνον ἄτην,
οὐ γὰρ ἄνευθε σέθεν πέλεται γένος ἀσφαλὲς ἀνδρῶν,
σῇσιν ἐνὶ κεῖται γὰρ χείρεσιν ἤνια κόσμου,
ὅ, τοῦτε ἀνθρώποις χρηστὸν συνεργόν τε τέτυκται,
οἷα πατὴρ μερόπεσσι χαμαιεφέεσσιν ὑπέστης.
ἡμετέρη πέλεται διαθήκη ἐμπεδόμυθος,

ἥν αὐ-

ἣν αὐτοῖς διέταξα ἐμῷ νημερτέϊ μύθῳ,
φῶτος ἐνισταλάον πνεῦμα φρεσὶν ἔμφρονος αἴγλην
καὶ λόγος ὃν ῥὰ τεοῖσιν ἐνὶ στομάτεσσιν ἔθηκα
ἐμμαθέως τελέθοι σῇσιν πραπίδεσσιν ἀρηρώς,
μηδ' ἄρ ὀπισθογενέων γένος ἀνδρῶν ἐκλελαθέσθω
ἡμετέρων ἐπέων, μηδ' ἀτραπὸν ἀνδρολέτειραν
πλαζομένοις πατέοι ἄλλην τρίβον οὐ κατὰ μοῖραν.
καὶ εὐαγγελίοιο γαληνοφαοῦς γλυκυλαμπὲς
φέγγος ἐνὶ κραδίῃσιν ἀνάπτειν, ἠδὲ πόδεσσιν
ἀτρεκίης ὁδὸς ἀκινήτως ἐμβαινέμεν οἴμοις,
καὶ φρένας ἡμετέρας καθαρῇς γνώμῃσι πύκαζε,
πάντ' ἀπολυμαινέων κακὰ φύρματα ἐμπεφυῶτα
ψυχῇ καὶ κραδίῃσιν ἀεὶ θεόεχθρα ποθεύσαις,
μή ποτε δυσφροσύναις πελάσαιμεν ὀλεθροφόροισιν
ἤ ποθ' ἑλίσσοιτο φρὴν ἐς βαθυπήμονα λύσσαν
μισοθέου δόξης, καὶ ἐς ληρήματα κόσμου,
καὶ βιοδίκτειραν διδαχῆς σαοσήνορος ὀμφὴν
δὸς βομβεῖν ἀμίαντον ἀναξιλέων πολιτειέων
ζαχρειῆ τάξιν σῶσον παναπήμονα θνητοῖς.
οὐδὲν γὰρ μερόπων πέλεται γενεῇσιν ἄμεινον
ὑβριστέων μερόπων κακίης ἄπο θυμὸν ἐρύκειν
εἰρξικάκοις χαλίνοις καὶ ἀεὶ τὰ δίκαια νέμεσθαι
ἧς ὕπ' ἀλεξικάκοισι βραβεύμασι σύλλογος ἀνδρῶν
χριστοσεβέων ποράλλην χθόνα πουλυβότειραν ἐνοικῶν
εὐσταλέως νέμεται, καὶ ἡσυχίῃ ἐνὶ κεῖται.

οὐλομέ-

οὐλομένοις λείουσι λύκοις τε ψυχοραΐσταις,
ἄμνοις μηχανόωσιν ὀλέθρια χριστοβότοισι,
χείρεσι πανσθενέεσιν ἐναντία δηϊάασθαι,
καὶ ἡμέων ἀπάμυνον ἐχέστονον ἄλκιμος οἶτον.
Πνεῦμα πρόπαν ἀκάθαρτον ἀπότρεπε πουλυμίασ-
Ἀνδροφόνον, ψευδὲς, βλαπτήριον, οὐλοεργὸν, ζμον
χριστὸν ἐπεσβολίῃσιν, ὅ, τι λευγαλέῃσι χαλέπτει,
μὴ ἢ φίλου χριστοῖο ἀειστοβοτῆρος ἐάσοις
πώεα δυσμενέος λύσσῃ νόσφι γενέσθαι.

Ad Deum filium.

Τοῖς δ' ἔπεσιν θεόπαιδα βροτοσόον ἀγκαλέσοιεν.

Χριστὲ θεοῦ ἔρνος, γενέτεω περαναρχολόχευτον
κῦδος ὑπερζαθέου ἐπιειμένε οὐκ ὀνόμαστον,
αἰὲν ἐνοικήσας δυσκλωέος οἶκον ὀλύμπου,
Αὐτοβίου γενέταο λόγος καὶ ἔνθεος εἰκὼν,
φέγγος ἀπαυγάζων δόξης θεοκυδέος ἁγνὸν,
ἔνσαρκος, πεπαθὼς, σταυρούμενος, ἐνθεοφώτου
ζωγρηθεὶς πνοιῆς δυνάμει πανατέρμονι, πότμου
φθισιβίου ῥήγνυς στυγερὰ καὶ δέσμα βερέθρου.
οὐλυμπὸν δὲ κιὼν ζοφεροῦ μετὰ γεῦσιν ὀλέθρου,
καὶ πατρὶ δεξιτερὴν μεγακαρτέα κοσμοκράτειραν
ἑδριόων γενέτεω, περίφαντος κύδεϊ σεμνῷ,
σὺν τ' αὐτῷ κρατέων μεγάλου οἰκία κόσμου

πολλὰ κερασσάμενος τε γεράατα γηγενέεσσιν
ἀνθρώποις, ἱκέτης τε διαλλακτὴρ τε γένοιο,
πρὸς σελαηγενέτην ὕμμιν βασιλεύτορα κόσμου
ἔμπλεος οἰκτοσύνης, οἷον ποτὲ μῦθον ὑπέστης.
Δεῦτε γένη μερόπων βεβαρηότα ποτμοδδιειρέων
ἀμπλακιεῖν φόρτοις βαρυαχθέσιν, ὕμμιν ἐπάξω
φάρμακα μειλιόεντα, κακοῦ παυστήρια πότμου
ἀμψύξων κραδίην δεδαϊγμένον ἄλγεσι λωβέων.
λίσσου ὑπὲρ μοῦ χερσὶ μεγακλήεντα τοκῆα,
ὄφρα μοι ἀχθομένῳ ἵλαος λώβῃσι παρείη.
μαρμαρυγαῖς πνοιῆς θεοαέος ἄγνισον ἦτορ
ἡμέτερον, ὃ ἀεὶ καμάτοις ἐνὶ πᾶσι φυλάττε,
οἷον ἐφημερίοις ῥέξειν μερόπεσσιν ὑπέστης.
μήποτε ὀρφανίης ὑπὸ ὑμέας ἐγκαταλείπω
δυσβιότου μινυρῆς στονοπλήρεα θυμὸν ἀλύειν,
σὴν ἐλεητὺν ἐμοὶ κέρασον σωτηριόδωρον,
καὶ ἄρεσον ἱκέτης γενέτην μοι κοσμοβραβευτήν,
εὔθυνον κατὰ μοῖραν ἐμοὺς πόδας ὀρθοποδηγός.
ὃ πνοιῆς κάρτινον ἐμὲ φαεσίφρονι λάμψει,
αἰνὸν ἀμυνέμεναι βελίεω ὀλεσήνορος οἶστρον,
λάβρον ἐπεσσυμένου, καὶ ψεύδεσι μηχανόωντος
δήνεα λωβητοῖς θανατηφόρα, σὰρξ φιλάμαρτος
ὑμέας οὐλομένοις ἵν' ἐνειλήσειε μιασμοῖς,
καὶ ἀδικοπραγίῃσι, ῥέποι τε κακόφρονι ἦτορ
ὕμμιν ἐνὶ κραδίαις ἑτέρωσε, καὶ ἀγνολόγοιο

Ἀξεκίου

Ἀτρεκίης ἀτὰρ θυμὸν ἐνὶ πραπίδεσσιν ἐρύκο,
πνεύματος ἔργα τὰ γὰρ πέλεται κακὰ πλασσιλόγοιο
ἠδὲ δολορράφεος, καὶ ἀσελγέος, κ' αἱμοφορύκτου,
καὶ περιπλαζομένου πλανέων ὀλεσίφονα νύκτα.
Χῆμα δὲ Χριστὲ θεοῦ τύνη γόνε δύσαο θνητῶν,
κοσμολέτου σατανᾶο διαρραῖσαι κακὰ ἔργα.

Ad Deum Spiritum sanctum.

Τοῖς δὲ φαὸς τριάδος τρίτατον φύσημα θεητῆς
ἀγνοφαὲς καλέοιεν ἀραισόμενοι ἐπέεσσιν.

Πνευσίθεε, ζωουργέ, σελασφόρον ἔρνος ἀήτα
πανσθενέτα, παράκλητε θεὸς παραμυθιοδῶτα,
οὐρανόθεν τὸν ἔπεμψε πατὴρ ζαθέοισι μαθηταῖς
Χριστὸς ἀμβροσίακος καὶ ζωῆς ἠγέτα φαιδρῆς
συμμορίης δώσειν τίμησι θέοισιν ὑπέσχεν
εὐσεβέων, πραπίδεσσιν ἐνιπρῆσαι ἐπίκλησιν
ὀξύτερον βασιλῆος ἔχοντος πυρσοπυρώτου
ἔδρανον οὐλύμπου, δυνάμει πάντεσσι φοβητοῦ,
Ἀτρεκίης γνῶσιν τε θεουδέος ἀγλαόφωτον,
οἷον ἐνὶ σελίδεσσι θεοπνεύστοις κεχάρακται.
πνεῦμα καθαρσίνοον χάριτος καὶ οἰκτροσυνάων
δώματος ἐνναέτῃσι θεόφοσιν ἐγγυαλίζω
ὑψόθεν ἑσσύμενον θεοτιμήτοιο Δαβίδος.
ἤπυτα δὲ παῦλος μεγάλοιο θεοῦ ὀαριστής,
τοῖα πνέων τριάδα ζαθέην στομάτεσσι πιφαύσκει.

ὑψιμέ-

ὑψιμέδων ἔκχευεν ἑὸν ῥυτὸν ἁγνισίθυμον
πνεῦμα, διὰ ῥυστῆρα βροτῶν εὐεργὸν ἐρεμνῶν.
ἡμετέραις κραδίαις ἀνάφλεξον μυθοφόρητον
πίστιν, ἀεὶ ἀραγυῖαν ἀνεκλύτοισι θεμέθλοις,
καὶ ἐλεοῖο τυχεῖν γλυκερόφονος ἐγγυαλίζειν.
πανσθενέτης γενετὴρ τὸν ἀβληχροβίοισιν ὕπεχεν
ἀνδράσιν, υἷος σφετέρης διὰ παύστορος ὀργῆς,
ἠδὲ παράκλητος παρατύγχανε κύδιμος ἡμῖν,
καὶ συνάεθλος ἅπασι νοήμασι καὶ πραγέεσσιν
ἄμμιν ὅτ' ἔνδοθι θυμὸς ὀρώρεται ἀνδροδαΐκτοις
κήδεσιν, ἐνσταλάειν νοερὸν λογόπεμπτον ἄκεσμα
ἡμετέρῃσι φρεσὶν, καὶ ἀπότρεπε πήματα πάντα.
κόσμος ἐρασίκακος τὰ ἀεὶ καὶ ἀλιτρὸς ἐγείρει.
ἐν πραπίσιν κίρνα θρηνοπληθέσσι πρὸ πᾶσιν
τλημοσύνην, νεφέλη ὅτ' ἐπέσσυται ἄλγινος ἄτης,
καὶ φρένας ἡμετέρας ἀμαρύγμασιν αἰθεροφώτοις
σῆς χάριτος ζαθέης σοὶ πρόφρονας ὀτρύνειας
πείθεσθαι, δύναιτε σέβας γενετῆρι καὶ υἱῷ.
καὶ σοὶ ὦ ξιάλος ξίτατον σέλας ἀρχεσιφώτου,
καὶ μόνον ἀξιότιμον ἀειδέμεναι, καὶ ἐπαίνοις
εὐφήμοις στεφέμεν μελέων θεὸν ἡδυλαλήτων,
ἐν τῇ νῦν βιοτῇ, καὶ ἀτερμάντῳ διαγωγῇ.

Βαπτισμοῦ δὲ λοετρὸν ἀκεσιμόρου διέταξεν
υἱὸς ἀναρχογενήτος ἀνερμήνευτος βασιλῆος, — Quarta pars Catechismi Baptismus est.

διεξινόμενος Μωσῆ κατὰ μαλδιώων διὰ τάξεις
πρωτοταγεῖς θεσμοῖο παλαιοῦ, αἵ ῥα πέλοντο
ἐσσομένων σημεῖα προάγγελα, καὶ τύποι ἔργων,
παυσινόμου Χριστοῦ περὶ θέσφατα προῤῥηθέντα,
καὶ προφανέντα βροτοῖσιν, ἐνὶ σκιοειδέϊ μορφῇ.
οἷα δὴ παγγενέτωρ κεκαλυμμένος ἔμφονι φάρει
ῥήματος ἀμβροσίου, ἐν βροτῶν γενεῇσιν ἀφαυρῶν
κοινωνεῖ, κραδίης τε φερεχρίστοισιν ἐνεργεῖ,
τοῖος καὶ ὑδάτων πέλεται νόμος ἐνθεονάσμων,
οἷσι βιὰς μονόστεπτος ἀεὶ μεγαλήϊα φαίνει,
Ἄνδρα παλιγγενίης ῥυπτικάρδιον, ἄφθιτον εὖχος
πρὸς βιότου αἰῶσιν ἀνεκλύτου δολιχοῖσιν,
υἱοθετεῖ, καὶ ἐνὶ Χριστῷ ῥυστῆρι φυτεύει,
κλήματα ἡμερίδος θεοβλαστέα ἱεροθαλλοῦς,
ἠδ' ἐν δικαιοσύνης θεοειδέσι κάλλεσιν ἱρῆς,
καὶ ἁγνοπρεπέος στεφανοῖ παναμύμονος εὖχει,
ἐν πραπίσιν λαμπτῆρα νεὸν μερόπων ἀνακαίει,
ἔνδον ἀκοντίζοντα θεοῦ ἀκτῖνας ἔρωτος,
ἐν ζωῆς στασίεσσιν ἀθρηνήτοιο πελάζει,
Ἀνδράποδα θανάτου, κνέφαος ζοφοείμονας, ἠὲ ας
καὶ σαρκὸς κακίης γενετείρας κοσμογενείης,
καὶ βλαβεροῦ βελίεω θνητῶν δηλήτορος ἀνδρῶν
ἐξερύει κακότητος ἀμειρσιβίοιο, ἐν αἴγλης
υἱέας ἰσοθέους τεύχει, ζωῆς τε πανόλβου,
καὶ σφετέρου υἱοῦ ῥέεθρα Χριστοῖο περισάπτει

Baptismus medium quo Deus nobiscum agit ac regenerat ad vitam æternam.

σώματι

σώματι προσφυέεσσιν ἀρηρότας ἁρμονίῃσιν.
χριστοταγέος γὰρ ἐνεργείῃ θαυμαστὸς ὤρωρεν
βαπτισμοῦ, οὐ γὰρ πέλεται μινυώριον ὕδωρ

*Definitio Baptismi.*

οἷον ἀναβλύουσι πεδοσκαφέες κεκεῶνες,
Ἀλλὰ θεοῦ ἔπεσιν συναρηραμένη θεοδρήτοις,
καὶ ἐνικληζομένη δύναμιν μάλα θαυμασιουργόν,
Ἀνδράσιν ἀπροσόρατον ἀτὰρ πραπίδεσσιν ἐφικτόν,
ἡμερίων γενεῇσι νέμει παιδνῇσιν ἀφαυρῶν.
Τοῖσι θεοσταγέος δὲ γόνος πίστωσε λοετροῦ
Ἀμβροσίου γενέταο δύναμιν ζείδωρος Ἰησοῦς.

*Verba institutionis Baptismi.*

ἔξιτε πανδόκου πρὸς ἀπείρατα τέρματα κόσμου
πρὸς φοίβου φλογεροῖο δύσιν, τειρέων τε πυραυγέων,
καὶ φάος ἡμεροφεγγὲς ἐνηέος ἠεριγενείης,
πρὸς πλευρὴν εὔρου τε κρυμνοτόκου βορέαο,
καὶ μερόπων φύλοις ἀγγείλατε ποικιλογλώσσων,
ῥήματος ἡμετέροιο βιορρύσειραν ἰωήν,
καὶ σμηξικραδίοις φαιδρύνατε νάμασι πάντας,
ἱρὸν γεννητῆρος ἐς οὔνομα παντοκρατῆρος
παιθείου τε γόνου καὶ ἀγλαοδοτῆρος ἀήτεω.
Τοῦν καθαρσινόοισι δὲ ῥαντισμοῖσι προσάπτει
ῥῆμα, κακῶν ἄφεσιν παυσίστονον ἀμπλακιάων,

*Quid conferat baptismus.*

τε μακαρισμολετῆρος ἀπὸ πάντ' ἀνέρα λύει
δαίμονος, ἀϊδίου τε μόρου ζωοπλήρεος ἀλγέων.
τε μακαρισμὸν ἅπασι χαρίζεται οὐρανογηθῆ,
πίστει πανσόφῳ σφὶν ἀρηραμένοισι λεπάδνοις

ἀρσιβίοις ζωουργὰ κράατα κοσμοβραβευτέω,
ὅσσα λόγοι Χριστοῦ καὶ ὑποσχεσίαι πολύολβοι
Ἀνδράσιν ἀμφαίνουσιν φορεομένοις κακίῃσιν,
ὅ, θεράπουσιν ἑοῖς τοίην ἐφθέγξατο φωνήν.

Verba ac promissiones diuinę additę baptismo, Marci cap. vltimo.

Πίστιν ἐνὶ πραπίδεσσι θεωσιάνειραν ἀέξων,
βαπτισμοῦ τε ῥοῇσι βεβαμμένος ἱερολούθροις,
παγγενέτωρ σφετέροις σκηνώμασιν ἐγκατανάσσει.
ὅ, δ᾽ ἄρ᾽ ἀπειθείῃσι δολοῖ φρένας οἰστρομανέεσιν
Ἀντιχανεῖ ἀχλὺς τὸν ἀχερουσίδος ἤρος ὀλέθρου.

Non aqua sed verbi additum aquæ operatur in baptismo magnalia.

οὐ δύναμιν δ᾽ ἄρ᾽ ἔχει τόσσην πηγόβρυτον ὕδωρ,
Ἀλλὰ θεοῦ ἐπέων ζαθέων μεγαλουργὸς ἰωὴ
συγκαινουργήσασα ῥοόζευκτος, καὶ ἀκλινὴς
πίστις εὐδμήτοισιν ἐπεμβαίνουσα θεμέθλοις,
ῥήμασι πιστεύουσα φρεσὶν σοφοδρήεσι Χριστοῦ.
νόσφι θεοῦ βαπτισμοφόρου γὰρ ῥήματος, ὕδωρ
νασμὸς ἀρουρολόχευτος ἔφυ, καὶ ἄπλοον ὕδωρ.
ἀλλὰ θεοῦ ἔπεσιν μεταλλειοπόνοισι ἀρηρὸς,
λυτήκακον βάπτισμα πέλει καὶ ἐνθεοεργόν,
ὅ, τι πέλει χαρίτων πληθὴς σωτήριος δώτης
σταξίβιος ῥαντισμὸς, ἐχεζώοιο λοετροῦ,
ἠδὲ παλιγγενέσιος ἐν πνεύματι θεσκελοφώτῳ,
οἷον ἔπος τὸ θεοῦ Παῦλος στόμα θεῖος ἐνίσπει.
Ἀλλ᾽ ἐλεημοσύνης ἀγανῆς ῥιπῇσι πιθήσας,
ὕμεας ἐξεσάωσε φιλαθρήνοιο βερέθρου,

Ad Titum cap. 3.

διὰ παλιγγενέσιος νεωστήνορος ἱεροκαθαρμὸν
λουτρόν.

λοῦτρον, καὶ πνοιῆς νοερῆς θεοφεγγέος αἴγλης,
ὧν ῥυδὸν ὑμείων ὕπερ ἔκχεε δῶρα φέρουσαν
θαυμασιουργὰ βροτοῖσι, διὰ φθοραμύντορα Χριστόν.
προικιοδωρήτοιο δικαιοσύνης ἵνα κάλλει
θειοπρεπεῖ στίλβοντες, ἀφθανέος βιότοιο
αἰὲν ἀγαλλώμεθα παναφθάρτῳ ἐνὶ κλήρῳ,
ἐλπίδι προσδοκόωντες ἃ δὴ μετόπισθε γενεῖται.
μῦθος ἀναμφήριστος ἔφυ καὶ ἐτήτυμόφωνος.

Βαπτισμὸς δὲ βροτοῖσιν ἀρουρογενέεσσι κελεύει, Quid significet ac doceat immersio in aquam.
οὐλοὸν ὑβριστῆρα παλαίπτωτον τὸν Ἀδάμον
σαρκὸς ἐνοικητὴν ἐρασίφθορον ἐγρεσίτερμον,
νεκρώσει καὶ γνωσικάκῳ αἰεὶ μετανοίῃ
λυγροπόθοις παθέεσσιν ἅμα, σὺν ἀμπλακιάων
παμμιαροῖσι ῥύποισι καταβλύζειν τε, καὶ αἰεὶ
ἐκπλύνειν, δαμάσαντε θεήμαχα μαιμώωντα.
ὄφρα κεν αὖ στάίη ἀνὴρ καινότροπος ἄλλος,
θειογενής, ἀμίαντος, ἀχραντόβιός τε, καὶ ἁγνός,
ὅς ῥα θεοῦ προπάροιθε δικαιοσύνης θεομοίου
καὶ ὁσίης σεμνῆς θεοκαλλέσιν ἀγλαΐῃσιν
ἀστράπτων, ἕλκοι βίον ἐμμενὲς ὑδυνάοιτον,
οἷα γράφει βίβλου θεοχανδέος ἐν σελίδεσσιν.
σὺν Χριστῷ ἐς ἄβυσσον ἐταρχύθημεν ὀλέθρου, Ad Romanos cap. 6.
Βαπτισμοῦ μυθοσθενέος διὰ θέσκελον ὄμβρον,
ὄφρα κε ῥηξίμορος γόνος οἷον παμμεδέοντος,
ἀνέστησεν δυνάμει μέγα κυδιόωντι γενετῆρος,

ὥς καινοπρεπέος καὶ ἐν ἀγλαΐῃσι βίοιο
ζώωμεν πραπίδεσσι θεοῦ σύμφωνα φρονεῦντες.

Quinta pars Catechismi Absolutio.

Αὐτὰρ ἐπεὶ μετὰ λουτρὰ θεοστάκτοιο ῥεέθρου,
δηθάκις ἀμπλακίῃσι πελάζομεν οὐλομένοισιν,
ψυχή τ' ἐγκύρσασα μεγαπταίστοις θεοειδὴς
πτώμασιν, οἳ στοναχάς τε καὶ αἰνὸν ὀδυρμὸν ἐφέλκει
οὔπω πνευματικοὶ πάμπαν, οὔτ' ἀγλαοεργόντες,
Χριστὸν ὅλον ξύμπαντα φίλοις πραπίδεσσι φορεῦν-
Ἀλλὰ χορδὰς μιαρῶν σὰρξ ἀσεβὴς ἀμπλακιάων,
ἐμπεφυυῖα πρόπασιν ἁμαρτωλὰς αἰὲν ἐγείρει,
ὑψίστου γενέταο δικασσίμβροτος υἱός.
φρασσάμενος σαρκὸς ἀλαπαδνοσύνῃσι ἀβληχρῆς
φάρμακα, κλειδοκράτειαν ἐπέτραπε λυσιάνειραν
θρέμμασι χριστοβίοις σκηνώματος ἱεροχώρου.
τοὺς μὲν ἀπειθείῃσι λιποχρίστοισι τραπόντας
θυμὸν ἀτασθαλοεργὸν, ἀλιτροσυνέων τε βαρειέων
εἵνεκεν, οὐ σφετέρῃσιν ἐνὶ φρεσὶν ἀχνυμένοισιν.
τρυσινόους ἀμελεῦντας ἀμειλίκτοι μετανοίης,
αἰὲν ἀλιτροπέδῃς δεσμευέμεναι στιβαρῇσιν,
καὶ πληξικραδίοις ἀΐδι προϊάψαι ὁμοκλαῖς,
κυρειάσειν τε μόρον καὶ ἐριννύας αἰνοδοτείρας,
ἐνσκήπτειν τε βέλος συνοχῆς σφίσι δηξινόοιο.
τοὺς δὲ φρένας τακερὸν ὅσους ἄχος ἀμφιβέβηκεν,
εἵνεκεν ἀμπλακιέων τε τελεσσικάκου τε βίοιο,

ἄχθεος ἐκλῦσαι φαιδρωσινόοισι ἰωαῖς
ἐγρεγανοῦς εὐαγγελίου, χριστοῦ τε πελάζειν
ζωοφόρου χάριτι, ἣ παγγενέταο προσόψει.
τοῖς δὲ θεωσήνωρ ἐπέταξεν ῥήμασι χριστὸς
οἷσιν ἀποδρηκστῆρσιν, ὅλῳ τε θεόφονι λαῷ
ἔκλυσιν ἀμπλακιῶν λαθιπήμονα δακρυοπληθέων.
δῶρον ἐμὸν δέξασθε θεόπνοον ἁγνὸν ἄημα,
ὧν φρένας ἀμπλακιέων ἀπελύσετε δυσθεοεργῶν
ψυχακέεσσι λόγοισιν ἐνὶ χθονὶ παντοβοτείρῃ,
εἰσὶ θεοῦ προπάροιθε καὶ ἐκλυθέντες ἐκεινέων,
οἷσι δ᾽ οὐ δεσμοῖο παλίλλυτον ἀμπλακιάων
λύσετε δυσπραγέων ἐκ ψυχὴν θρηνοβάρειαν,
τοῖα πατὴρ τελέσει καὶ ἐν ὑψιφανέσι μελάθροις.
ἐκλυσίης προτέρη δ᾽ ἔειπεν θέων ἀμπλακιάων
ἐξαγόρευσις ἔφυ κινυρόθροος, ἧς ῥα πέλονται
τμήματα δισσά, τὸ μὲν λώβης δακέθυμον ἀνίην
ἐξερέειν ἀναφανδὸν ἐνώπων ἀρητῆρος
μυστοπόλου, τὸ δέ τοι παρ κλειδοφόροιο κομίζειν
συγγνώμην κακίης λυσίζονον αἰσχροβίοιο,
οἷά κεν αὐτολαλεῦντος ἀλεξικάκοιο τοκῆος,
καὶ ἄχεσι πλήρεσιν ἀλεξητήρια θρήνου
δεξινόου κραδίαις ἐπάγοντος ἐνηεῖ φωνῇ.
Μηδέ τι διστάζειν φρενὸς ἀμφιβόλοιο μανίῃ,
Ἀλλὰ τεῇς πραπίδεσσιν ἀκλινέα πίστιν ἀφύσσειν
τὴν κακίης ψυχὴν φρενοπλήμου ἐξαναλῦσαι,

Verba Absolutionis tradita à Christo discipulis suis.

Absolutionem præcedit peccatorum confessio.

Quæ peccata Deo confitenda, quæ Sacerdoti.

Ἀρχὸν ὑπὲρ προάναρχον ἐφημερίων ἀνθρώπων
φθεγγομένου κείνου, καὶ σὸν φρένα θαρσύναντος
μειλιχίοις ἐπέεσσι λόγου μειλιξιαλίτρου,
οὗτινος ἄντα θέμις βροτὸν ἀμφαδὸν αἰτιάασθαι
Αὐτὸν ἀρχηγὸν ἁπασέων ἀμπλακιάων,
γνωστῶν τ' ἀγνώστων θ' ὥσπερ χριστοῖο προσευχῇ
εἰν ἀκιχήτῳ σοφῷ λιτανεύομεν ὑψιμέδοντα.
Ἀλλὰ θεοδρηστῆρι μόνον καὶ ἐχέφρονι μύστῃ
ἐξαυδᾶν τὰς μοῦνον ὀφείλομεν, ὀξυμέριμνον
αἳ κραδίην νύττουσι βαθυθρήνοισιν ἀνίαις.
εἰ δέ σε γνωσέμεναι κέλεται φίλον ἦτορ ἑκάστας,
θειόγραφον πτερύγεσσι νόοιο διάδραμε θεσμὸν
ἀλεξίκακον, βιοτήν τε τεὴν καὶ ἤθεα πάντα
φρασσάμενος στάθμην κατ' ἐφημοσυνέων θεοτάκτων,
ἐνδυκέως σκοπίαζε διακειδὸν ἐν φρεσὶ σῇσι,
ἢ γενετὴρ τελέθεις, ἢ μήτηρ, ἢ γόνος, ἢ παῖς,
ἠὲ μέδων, ἢ δεσποσύνη, ἢ ἐργάτα δρηστήρ,
ἢ σημαντήρεσσι κελευομένοισιν ἀπειθής,
ἢ φονέων οὐ πιστὰ φίλοις φρεσίν, ἢ βραδύμοχθος
νωχελίῃ πεδάᾳ σε τεοῖς ὑπὲρ αἶσαν ἐπ' ἔργοις,
ἠέ τινα ῥέξας μερόπων ἐξαίσιον ἀνδρῶν,
ἔργοις ἠὲ ἐπέεσσιν δίκην στυγατάθαλον ἄσσας,
ἢ κλοπίης τελέσσας ἀεικέος αἴσυλον ἔργον,
ἠὲ μεθημοσύνῃσιν ἐπήγαγες ἄφροσιν ἄλλῳ
ἢ ἀκομιστίην σαυτῷ ἢ πῆμα φρεναλγές.

Ομολ

Ὢν δ' ἄρ' ἀλιτροσυνέων ὀλεσιμβρότων ἄχθος ἐπεί-
δειξιθεόιο λόγιο μετέρχεται ἴδμονα μύστην, (γει,
χριστοταγῆ κρατέοντε θεόφρονος ἡνία μάνδρας,
ἢ ὁππόταν οἱ ἐπὶ πλόρον αἰνοκάθεκτον ἐρείδει
ἢ μὰρ ἀναγκαίης πανανικήτου, ἵνα φωτῶν
χριστοσεβέων, γεραροῦ θεοφάντορος οὐ παρέοντος,
καὶ χθαμαλοφονέων ἀπὸ γλώσσης ταῦτα πιφαύσκει.

Κοίρανε ἀξιότιμε θεουδέος ἡγέτα ποίμνης,
σεμνὲ κασίγνητε τοῦ ἐμῷ κεχαρισμένε θυμῷ,
σοῦ δέομαι μελέοντος ἐγὼ διὰ κοσμοβραβευτέω,
ἀμπλακιέων ἄτας καταλεξαμένου μεῦ ἄκουσον,
ὧν ἄχθος ἡμετέρας σφεδανὸν φρένας ὀξὺ πυκάζει,
καί μ' αὐτῶν ἀπόλυσον ἀλεξικάκοις ἐπέεσσι.
ἐξαυδᾶν δ' ἄρ' ἔπειτα κελεύω, ὅ, τι σε κήδει,
τοῖς ἔπεσιν ψυχῆς προπάροιθεν κηδεμονῆος
μυστιπόλου λογοδυναμένου κακίης ἀφετῆρος.

Forma confitendi peccata coram Sacerdote.

Σχετλιόμοιρος ἐγὼ καὶ ἀποτμότατος ζώοντων,
προπροκυλινδόμενος κοσμοκρατῆρος ἄνακτος
ἄντα, κακορραφέων βαρέων ὑποβραχθεὰ φόρτον
ἀμφαδὸν ἐμπεφυῶτα ἐμαῖς φρεσὶν ἐξαγορεύω.
σεμνὰ θεορρήτων χρηστήρια κηρόθι μύθων
οὐ σέβομαι, εὐαγγελίου σωτηριοφώνου
οὐ πείθομαι διδαχῇ θεοσήνοει, χρήσιμον οὐδὲν,
οὐ καλὸν ἐκπονέω τελέσας θεοσέπτορα μόχθον,
οὔτε συμπαθίησιν ἀχεωιφόροισι, καὶ ἄταις,

οὐ στερεόφρονα θυμὸν ἀνεξιμέριμνον ἀέξω,
Ἀλλὰ παρὲξ ἄλλων τὸ διακειδὸν ἐξετέλεσσα.
τούνεκεν ἐν πραπίδεσσιν ὀδυρόμενος καὶ ἀχεύων
ἡμετέρην κραδίην ἔδομαι, καὶ ἐντικακουργὸς
ὀξὺ συνείδησίς μοι ἄχος καὶ ἄτλητον ἐγείρει,
Ἀχθομένη ἀμέγαρτον ἐμὸν νόον, οὐκέτ' ἀνεκτόν.
τούνεκεν ἀμπλακίης με προστάντεος ἐξανάλυσον
δέσποτα κληῖδας κρατέων φίλε μυθοτελέστου,
αἰθέρος ὑψίστου πὰρ ἀμβροσιμόρου μεδέοντος.
ἦ μοι ἐνίσταξον παραμύθιον ἠπιόφωνον.

Alia confitendi forma.

ἢ καὶ τοῖς ἔπεσιν θεοφάντορι ποτνιοτίμῳ
ἀμπλακίην κέλομαι δακεκάρδιον ἐξαγορεύειν.

Δύστηνος πρὸ πάροιθεν ἐγὼ σέθεν ἐξαναφανδὸν
ἐξερέω θεομύστα, καὶ ὑψιδόμου βασιλῆος,
πάντα τοι εἰδομένου ὅσα γίγνεται ἐξαναφανδὸν
ἠδὲ κρυφηδόν, ἔχοντος ἀεὶ φρενοδερκέα γλήνην.
ὅττι φίλην πτερόεσσαν ὑποβροβολάδην ἐμίηνα
ψυχήν, ἀμπλακίῃσιν ἀπιστοσύνης θεοέχθρου.
καὶ ἄλλοις πολέεσσί τις ἂν λέξαιτο πρὸ πάσας,
οὐδένα ῥῆμα θεοῦ ἐν ἐμῇς πραπίδεσσιν ἀέξει
καρπὸν, ἀτιζομένῃσι θεοσπάρτου σπόρον ὀμφῆς.
Δηθάκι τῷ ἀκοῶν λογοδερκέα κλεῖθρα πελάζω,
Μήποτε ἡμετέρας ἐνδύει φρένας, ὄφρα κεν αὐτὰς
εἰς ἀγαθὸν τρέψοι, καὶ λωφήσειε κακοῖο.
οὐκ ἀγάπης ἔργον γλυκύφιλτρον ὀνησιάνειρας

Ἀνδρὸς

Ἀνδρὶ φίλῳ φαίνω, ἀλλὰ φθονερόφρονι θυμῷ
οὐ μὲν κακιζομένῳ κοτέω, καὶ πολλὰ μεγαίρω,
οὐ πέλομαι στυγερῇσιν ἐνὶ ταλακάρδιος ἄταις,
καὶ φιλοχρημοσύνης κακοκερδέος ἀμφέχεν οἶστρος
ἡμετέρην κραδίην, κακίης παντοχέος ἀρχή,
τοὔνεκεν ἄχεθον ἄλγος ἐμὸν καταδάμνεται ἦτορ
μνῆστις ἀτασθαλίης τε ταραξινόου με βαρύνει,
καὶ ἄκος εὑρέμεναι ποθέω δηξίφρονος οἴτου,
νηπενθές νοσερόν τε κακῶν ἐπίληθον ἁπάντων,
τῷ γενετῆρ δέομαι κληροῦχε θεόσσυτε μύστα,
πίστιν ἐτ' ἀσκέθικτον ἐμὴν παραμυθικοφώνοις
κάρτυνον λογίοισι θεοῦ φρενογηθέος ὀμφῆς,
ἡ δὲ συνειδήσεως κατά μοι πρήϋνον ἀνίας
βρασσαμένης ἀχέεσσιν ἐγερσιπόνου κακότητος.

Καί περ ἀνενδοίαστον ἐνὶ φρεσὶν ἧσι πέπειθεν
λυσικάκῳ ἀφέσει κακοεργῶν ἀμπλακιάων,
Χριστοῦ σῶμ' ἔμπης ζάθεον καὶ ἐΰρροον αἷμα,
χείρεσι χριστοφόροις ἁγιορρέκτου προπόλοιο
ἐνσταλέως νενεμηκὸς ἔλειν ἄμπαυμα κακοῖο,
ἠδὲ λόγῳ ἐπέοικε θεοφθέγκτῳ τε, καὶ ἱροῖς
σήμασι, νουθεχθῆ ψυχήν, καὶ πίστιν ἀβληχρήν,
(ἣν σάρξ ἰλυόεσσα νόου ζόφος ἰσοθέοιο,
σὺν ἐνὶ χριστοφόροισί περ ἀνθρώποισι τινάσσει,
αἰὲν ἀπιστοσύνης στυγερὰς ὀρσοῦσα θυέλλας)
θαρσύνειν,

Sexta pars Catechismi Cœna Domini, & quare post acceptam absolutionem remissionem peccatorum tamen sumatur in cœna sacra corpus & sanguis Christi.

θαρσύνειν, καὶ ἐνὶ βαλέειν τῇ ἐλπίδα φαιδρὴν.
οὐδὲ μόνον χριστοῦ ἐπέοικεν ἐχέφρονι πίστει
δράξασθαι, ἀλλὰ βόμβον ἐΰκροτον οἷο λόγοιο
Ἀνδρομέον ὑπὲρ οὔατα κέαρ θεοχανδέα νηὸν,
Ἀλλὰ καὶ οὐσιώδεος ἑὸν δέμας, ἄλκαρ ὀλέθρου
ἠδὲ χάριτος σφρηγῖδα φαγεῖν, ἠδὲ πινέμεν αἷμα
Ἀμπλακίης τε τυχεῖν ἀφέσεως ἀπὸ λυσιανείρας.
ἠδὲ χάριτος ἧς μνῆστιν ἐνὶ φρεσὶν αἰὲν ἀέξειν.

Ἐστὶ γὰρ εἰλαπίνη θεοδωρήτοιο τραπέζης,
ὄντως σῶμα θεοῦ ἅγιον, καὶ ἐτήτυμον αἷμα,
υἱέος ὑψίστου μακαρισμοδοτῆρος Ἰησοῦ
Ἀρτομεθύκρυπτον, σεβασιχρίστοισι πρόπασιν
πασσόμενον μερόπεσσιν φαγεῖν, πίνειν τε, παρ' αὐτοῦ
ὑψίστου γενέταο δικαιωσήνορος υἱοῦ,
οἷα θεορρέκτων πυκινοὶ ὑμνήτορες ἔργων
τέσσαρες ἐγκατέθηκαν ἐϋγράπτοις σελίδεσσιν.
Ματθαῖος φλογερῇσιν ἐλαυνόμενος γεράεσσιν
πνεύματος αὐγοφόρου, Μάρκος τε, καὶ ἠπύτα Λουκᾶς,
Ταρσίδος ἀστροβάτης τε θεόσσυτος ἀστὸς ἀρούρης.

Verba institutionis cœnæ Dominicæ.

Χριστὸς ὑποδρηθεὶς γενέτεω ῥυσιμβρότοιο υἱός,
εὖτε τελεσσιμόρου σωτήριος ἔτρεχεν ὥρη
νυκτὸς, ὅτ' ἀλλοπρόσαλλος ἑλὼν ἀθεμίστιον ὦνον
ἑβραίοις προὔδωκέ μιν αἰνομανέεσσιν Ἰούδας,
χείρεσιν ἀλφιτόπεπτον ἑλὼν κλάσεν ἄρτον ἔπεσιν,
καὶ χάριν ᾧ γενετῆρι λέγων διένειμεν ἑταίροις,

καὶ σφὶν

καὶ σφὶν εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν
λέχθε καὶ ἐσθίετε, πέλεν ἄμβροτον ἄρτος ἐκεῖνος
ἡμέτερον δέμας, ἐς θανάτου πεφορημένον ἀρκὺν
ῥύσιον ὑμετέρης κακίης, ὅ, τι πᾶσι κελεύω
δρεπταμένοισιν ἐμῶν παθέων μνημήϊον εἶναι,
εἶτα δὲ καὶ σφετέρῃσι παλάμῃσι κύπελλον ἀείρας,
ἔμπλεον οἰνοδόκον τεκάστων δροσεροῖο λυαίου,
καὶ θεὸν ὑμνήσας χαρίτων εὐδελγεῖ φωνῇ
νώμησεν πάντεσσι πόρον, καὶ φθέγξατο μῦθον.
πίνετε ἐξ αὐτοῖο φίλοι ξύμπαντες ἑταῖροι,
τοῦτο δέπας πέλεται νεότευκτος διαθήκη
σταξιβίῳ ἐν ἐμῷ λύθρῳ, τὸ φερέσβιον ὄμβρον
ὑμείων ὑπὲρ ἐκχύμενον πολέεσσί τε κεχάνδει,
εἰς ἄφεσιν χαρίεσσαν ἁμαρτάδος ἀλπεσιδώρου,
τοῦτο δὲ πινόντεσσιν ἄγοι γλυκερόφρονα μνῆστιν
ἡμετέρων παθέων, λύσιν ἤθεος ἀμπλακοεργοῦ.
Ποῖον ἐφημερίοισι φέροιτε βροτοῖσιν ὄνειαρ,
ἔδμεναι ἠδὲ πιεῖν, τάδε ῥήματα ἐξαναφανδὸν
Ανδράσιν ἀμφαίνει θεόφρωσιν, εἵνεκεν ὑμῶν
τοῦτο δέμας δέδοται, τόδε καὶ ἐκχέεται αἷμα
εἰς ἄφεσιν χαρίεσσαν ἁμαρτάδος ἀλγεσιδώρου,
ὅττικεν ἡμερίοισι κορεσσινόῳ ἐνὶ δαιτὶ
Αμπλακιῶν ἄφεσις γανυρὴ, ζωήτε μάκαιρα,
ἠδὲ δικαιοσύνη θεολαμπὴς ῥήμασι τοῖσιν,
Ανδράσι βοσκομένοις δίδοται φρεσὶν ἔμφρονα πίστιν.

Quid profit sic comedisse & bibisse.

ὅππη

ὅππῃ γὰρ κακίης ἄφεσις πέλε μυθοπόειστος
ἔνθα δικαιοσύνη τε πέλει, ζωή τε γαλήνη.

Quomodo corporalis manducatio tam magnũ quiddam præstare possit.

ἔδμεναι ἠδὲ πιεῖν ἀτὰρ, οὐ τάδε θαύματα τεύχει
ἐνθάδε ἀλλ' ἔπεα κεχαραγμένα, εἵνεκεν ὑμῶν
τοῦτο δέμας δέδοται τόδε καὶ ἐκχείεται αἷμα
εἰς ἄφεσιν λοιγολείκτων ἁμαρτάδος ὠλεσιθνήτου.
ἄστα γε τῶν φαγέειν καὶ πινέμεν, οἷα κορωνὶς,
καὶ τὸ πρόπαν πέλεται συναρηρότα θειοθαλείης,
δεξάμενος τόδε ῥῆμα θεοῦ λογοπειθεῖ θυμῷ
Ἀμπλακιῶν ἀφέσιος τυχέει ἀπερεισιμερίμνου,
ἥντινα πειθομένοισιν ὑπόσχει ῥῆμα θεοῖο.

Quis digne vtatur hoc Sacramento.

Αὐτὰρ ἄσιτον ἄπαστον ἐδητύος ἠδὲ ποτῆτος
ἔμμεναι, εὐσταλέως τε ἑὸν δέμας ἀρτύνασθαι,
σεμνοπρεπὲς τε καλὸν ἔφυ μερόπεσσιν ἰδέσθαι,
ἐνθεόθοινον ἔδει δ' ἄρ ἀνὴρ νοόφορβον ἐδωδὴν,
ἄξιος εὐδρέπτως καὶ ὄντως εἰλαπινάστης,
πιστεύσας ἐπέεσσιν ἐκείνοις, εἵνεκεν ὑμῶν
τοῦτο δέμας δέδοται τόδε καὶ ἐκχείεται αἷμα,
εἰς ἄφεσιν φαιδρουργὸν ἁμαρτάδος ἀλγεσιθύμου.
ὃς δ' ἄρ ἐϋστρεφέεσσιν ἀπιστοσύνης βαρυοίστου
ἦν κραδίην μανίαις πεπεδημένος, ἐνθεοδρήτου
ῥήματος ἀμφὶ φρεσὶν διστάζει πουλυπλανέεσσιν,
δόρπων ἀνάξιος αὐτὸς ἐρέπτει μυθοτέλεστον,
δαιτυμονεὺς κακόπαστος ἐδωδὴν ὀλεσήνορα φορβήν.
ῥήματα ΥΜΕΙΩΝ γὰρ ΥΠΕΡ στερεοῖσι θεμέθλοις

κῆρ φι-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0086

κῆρ φιλέει πίστιως περικεκραμμένον σαοπειθοῦς.

Ταῦτα φίλοι παῖδες διδαχῆς κεφάλαια πέλον-
οὐρανίης, μελίφυρτον ἐνὶ καὶ ἀνέκφατον ὄλβον (ται
κευθούσης σοφίης φαεσήνορος, ἣν ῥὰ δαῆναι
καὶ φορέειν πραπίδεσσιν ἀεὶ θέμις ἐστὶν ἑκάστῳ,
ὧν νυ φίλον μακαρισμὸν ἀθηνοδίαιτον ἐφευρεῖν.
πρός τε θεοῦ κτιστῆρος ἐναυλιστήριον οἶκον,
κάλλεά τε βιβλοῖο πολυστράπτοντος ἱκάνειν.
τοὔνεκεν εἰς χαρίεντα θεοῦ τρέψοιτε μενοινὴν
ῥήματα παγγενέταο φρενός, νύκτωρ τε καὶ ἦμαρ,
εὐσεβίης στέρνοισι περιφλεγέθοντες ἐρωῇ,
ὄφρα χαμηλοφυέσσι μετ' οὐ μόνον ἀνδράσιν οἴμῳ
ἐν βιότου ζοφόεντος ἐνιπλείοιο κακοῖο,
ἰδμοσύνης περίαλλα κλυτῷ ὑψωσιανείρας
φέγγεϊ ἀστράπτοιτε, σαοφροσύνης τε φαεινῆς,
καὶ ὄλβου πράεσσι μελιχροῖς ἐγρεσικόμπου
πολλὸν ἀειρόμενοι πνείοιτε φρενοφθόρον ὄγκον,
Ἀλλὰ φάος μᾶλλον θειοφροσύνης εὐφεγγὲς
ὑψιβίου ποθέοιτε, καὶ εὐσεβίης μέγ' ὄνειαρ,
ὄφρα χαμαιφέος μετὰ ναυτιλίην βιότοιο,
φαῦσιν ἐς ἀρρευστον καὶ κῦδος ἄπαυστον ἀθρήνου
ὑψωθεῖτε βίοιο, συνωροφίλῳ τε γαλήνῃ,
φεγγοβολόχωτος στρατίης πυρόεντος ὀλύμπου,
ἔνθα νυ πρηΰγανὲς κελάδημα καὶ ἀφθιτογηθὲς,

ἦμαρ

Apostrophe ad scholam Ilfeldensem ut Catechismũ discat diligenter ac in eius doctrina ac sapientia cœlesti meditetur diebus ac noctibus.

Gloria vitæ æternæ.

ἦμαρ ἑορτάσιον λαθιδάκρυον αἰὲν ἐπέρσει
χάρματος ἀφθάρτου, καὶ ἀνέσπερος ἠειγένεια
φαιδρονόοις μακάρεσσιν ἀκοντίσσει φάος ἡδύ,
ἀμφὶ καλὴν σκιρτῶσι θεοῦ πεπυρωμένον ἕδραν,
τέκνα τε θυμηρῆ καὶ ἀγλαὰ ὑψιφανούσης
ἐσσόμεθα τριάδος, τὴν ὄμμασιν ἱμερογλήνοις
θαυμαστῷ μεγαλοπρεπίῃ μέγα κυδιόωσαν
αὐτοπαρούσιον ἐγγὺς ἀθρήσομεν ἐξαναφανδόν,
ἔνθα τε χαρμοσύνην πανυροῦς φεσὶ λιπομέειμνον
δρέψομεν ἐμμενέως ἀπάτερθε τέλους, νεοκόσμῳ
εἰν εὐδωμήτῳ, ᾧ ἐνὶ κοσμησιάνειρα
κάλλεσιν ἀστράπτουσα δικαιοσύνη θεομόρφοις
οἰκήσει μακάρεσσιν ὁμέστιος ἀστοβάτῃσιν,
τοῖσιν ἐνιζυφάωντες ἀφοντίστως, ὅσα θνητὸς
οὔτις ἀνὴρ φάεσσιν ἀπώπεεν αὐτοφόροισιν,
οὐδὲ θύρας ἀκοῶν λογοχανδέας εἰσετέρησεν,
οὐδέ τινος χάδε κῆρ πολυφοντίστου περ ἐόντος,
τοῖα γὰρ εὐμόρφοιο θεὸς κόσμοιο πρόεδρος,
αἰὲν ἐπηρτύνασκε σεβαζομένοις περὶ κῆρι,
οἳ καθαροφροσύνῃ παναμύμονι καγχαλόωντες
νωλεμὲς εὐθύμως ἐνὶ πνεύματι μυστικοφώτῳ,
εἰρήνην τε γάνος τε φιλαθρήνητον ἔχουσιν,
ἰσοθεοκρατέες, πολυίδμονες, ἀγλαόμοιροι
συναέταί τε θεοῦ, θεοδορκεῖς, ἀγγελοειδεῖς,
ἐν πραπίδεσσι θεὸν στρεψίμβροτον ἧς χαλέοντες.

ὥστε λό-

ὥστε λόγον βραχύλεκτον ἐρῶ, ἀνὰ πάγχυ θεωτοὶ,
τῶν τελείωσις γὰρ ἀριστοβίωτος ἐτύχθη,
ἣν διὰ πάντα τελεῖται ἐφημερίοισι βροτοῖσι,
ἥντε διὰ σταυροῦ ὀδυνηφορίῃσιν ἀνίγρου
τρύχονται θεράποντες ἐπουρανίου γενετῆρος,
ἥντε διὰ ζώουσι, καὶ ἣν διὰ πολλὰ μογεῦσιν,
ἐν βιότου στυγεροῖς πολυμόχθου ἀτραπιτοῖσιν.

Χαίρετέ μοι παῖδες φιλοτέχνων ἔργεα μουσέων
κάλλιμα, παγκτίσταο φίλον λάχος ὑψιμέδοντος,
τεχνοσύνης τε δέδεχθε πονήματα μουσοδιδάκτου
ἡμετέρης νεότευκτα, προθυμητῆρος ἐραννοῖς
εὐφροσύνῃσι νόου, εὖ εἰδόμενοι πραπίδεσσιν
ὕμμιν ἐμὲ χρηστὰ καὶ ὀνήσιμα πάντα φρονῆσαι,
καὶ μεταδυνάμενον λιτανεύετε κοίρανον ἄστρων,
ἧς ἐλεημοσύνης πρηΰφρονος ὄφρα με τεύχοι
σκεῦος ἀριστοπόνητον, ἅμ' αὐτίκα καὶ μετέπειτα
ὄφρα κεν ᾧ θυμῷ κεχαρισμένα πάντα τελείω,
χρήσιμά τε πᾶσιν καὶ οὐ βλαπτήρια πᾶσιν,
ὅ, τι τέλος πάντεσσι χαμαιγενέεσσι πρόκειται.
ὕμμιν ἐγὼν ἀγαθοῖο φιλοφροσύνῃσι νόοιο
ἐκτελέσω πρόφρων θυμηρέα, κοινὸν ὄνειαρ
ἡμετέρη σπουδὴ ἔσεται πάντεσσιν, ἀέθλοις
χρησιμοεργὸν ἔχουσιν ἔνι πόνον ἀγλαοτέχνων

 μουσάων.

μυστάων, καμμάκαρσί τ' ἀειφρουροῖσι μογῆσαι,
ὕφαινεν ἐσσομένοις ὡς ἐν ἀνθρώποισι πιφαύσκοντ·
ἄγρυπνος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς.

ΤΕΛΟΣ.

# ΩΔΑΙ ΤΙΝΕΣ
ΘΕΑΝΔΡΟΥ ΤΟΥ ΛΟΥΘΗΡΟΥ, ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ ΑΝ-ΔΡΩΝ ΘΕΟΦΙ-ΛΩΝ.

# ODAE QVAE-DAM SIVE CANTIONES GERMANICAE LVTHERI ET ALIORVM QVORVNDAM PIORVM VI-rorum, quæ & partes Catechismi & præcipua doctrinæ Christianæ capita explicant, expositæ Carmine Græco heroico in Schola Ilfeldensi:

A
IOANNE MARTINO
SORAVIENSI.

M. D. LXXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0091

# ΩΔΑΙ ΤΙΝΕΣ
## ΘΕΑΝΔΡΟΥ ΤΟΥ ΛΟΥΘΗ-ρου, καὶ ἄλλων τινῶν ἀνδρῶν θεο-φιλῶν.

### ΔΕΚΑΛΟΓΟΣ.

### Diß sind die heyligen zehen Gebott/ rc.

ΤΟΝ νόμον ἐν λιθίνοισιν ἄναξ ποτὲ
πλαξὶ χαράττων
δῶκεν ἀλιτρονόοισι διὰ νομοδείκ-
τορα θνητοῖς (φύλοις
Μωσέα, ὃς λαοῖς σήμαινεν δωδεκα-
οὔρεος εἰσανιόντα μέγα ζαθέοιο κολώνας.
Σεῦ θεός εἰμι μόναρχος ἀθέσφατος οἶος ἀπ' ἄλ-
Μὴ εἴδωλα γέραιρε πιθήσας δαίμονι λάβρῳ, (λων,
Ἀλλὰ ὅλον πραπίδεσσι φονεῖν ἐμὲ θειοσεβέεσσιν,
καὶ περὶ κῆρι φιλεῖν, καὶ ἀεὶ εὐχῇσι γεραίρειν.
Οὔνομα μὴ ὀνόμαινε θεοῦ μεγάλοιο ματαίως,
κλεψινόοις ἐπέεσσι φίλου φρένας ἠπεροπεύσων,
δόγμα θεηγορίῃ κενεηγόρον ἠὲ καὶ ἔργον
μαρνάμενον, μοι ἶσον ἀλεύεο κῆρι μελαίνῃ.
Εὐαγέος πεφύλαξο κλυτὸν φάος ἠειγενείης,
φάκεν ἀμψύξοιο σὺν οἰκίῃ φορεμόχθῳ

τλησίπ-

τλησίπονος καμάτων μεθέπω χεὶρ γηοδαΐκτων,
ὄφρα θεοφραδέεσσι δόγμασι θυμὸν ὀπάζοις.
Σοὶ τοκέας σεπτῶς ἔχε μείλιχα πάντα φρονεῦντας,
οἵ σε φάους πλῆσαν ζωαρκέος, ἠδὲ βίοιο,
καὶ ἀγαθοφροσύνῃσι περισφίγξαι γλυκερῇσι,
ὄφρα χρόνον ταναὸν φαγέοις ἀτὲρ μυελὸν αἴης.
Μήτε γε αἱματόεντι μιαίνειν χεῖρας ὀλέθρῳ
χειροδίκης, μηδὲ συγχεῖν φθονερόφρονι θυμῷ,
ἀλλ' ἀγανὸς δεῖξον ξύμπασιν ἐνηέα θυμὸν
καὶ σοὶ περὶ φρονέοντα κακὰ κεχαρισμένα θείης.
Σωφροσύνην συνέειθον ἔχειν, καθαρήν τε κυθήρην,
μηδὲ πρὸς ἀλλοξίην ῥίπτον φιλότητα καὶ εὐνὴν
θυμὸν ἀναιδήτως βιοτοῦντε κακόφρονα ἕλκειν.
κλεῖθρα τιθεὶς παθέεσσι πολυσχιδέεσσι νόοιο.
Μὴ ἀτὲρ κρύβδα φίλῳ θυμηρέα κλῆρον ἐλέσθαι,
ἢ κακοκερδείαις οὐκ ἔνδικα χρήματα ποιοῦ,
Ἀλλὰ χέρας πρόφρων πετάσειας ὀνησιπενίχρους
Ἀνδράσι τειρομένοις πενίῃ, χατέουσί τ' ἀρωγῆς.
Μήτε γε μαρτυρίην ἀναφαίνοις ψευδολάλητον,
οὐδέ τινος ψεῦδος βλαβερὸν περὶ ἀνδρὸς ἐνίσποις,
Πὰρ δ' ἐχθροῖο παθόντι φίλῳ ἀθεμίστιον ὕβριν,
ὅσσον σοι σθένος ἐστὶ φρεσὶν καὶ χερσὶν ἀρῆξαι.
Μὴ ποθέειν παράκοιτιν ἐπήρατον εἶδος ἔχουσαν
γείτονος, ὅσσα τε οἶκος ἀγακλυτὸς ἐντὸς ἐέργει,
Ἀλλὰ φιλοφροσύνης εὐεργεσίης τε γεραίρειν



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0093

ἶσα τεῇ κεφαλῇ πολυμείλιχον ἐσμὸν ἑταίρων.
Ἡμῖν τὰς διέταξε θεὸς πολύτιμνος ἐφετμὰς,
ὄφρα βροτὲ ψυχῆς γνώσῃς δηλήματα σμυνῆς
Ἀμπλακίας συγκράς, λείψεις φθοροποιὸν ἀταρπὸν,
ἠδὲ θεοῦ κατὰ νεῦμα βιοσσόον οἶμον ὁδεύοις.
Τοῦτο δ' ἐν ἡμετέραις κραδίης τελέσειεν Ἰησοῦς,
ὃς μεσίτης μῆνιν παῦσεν μοραμύνθει πότμῳ
οὗ πατρὸς, ἢ θνηθεῖσιν ἀπώλεε λυγρὸν ὄλεθρον,
οὔ τι καλὸν ῥέξαι γὰρ ἔφυ σθένος ἡμετέροισιν,
πάντα γὰρ ὅσσα πονεῦσι δίκης πέλεν ἄξια δεινῆς.

## ΑΛΛΟΣ ΣΥΝΤΟΜΩ-
## τερον.

## Mensch wiltu leben seliglich/ rc.

Εἰ τοὶ ἄγειν φίλον ἐστὶ φρεσὶν θεοτερπέα θνητὲ
Ζωὴν, τὰς σελίδεσσιν ἐπουρανίοισι γράφεσθε,
προφρονέως θείοισιν ἐφημοσύνῃσι πίθοιο,
τὰς κόσμῳ τηρεῖν διέταξεν ἀλιξογενέθλῳ. (ὤν.
παμβασιλεὺς βηλοῦ φλογοβρόθρονον οἶκον ἐνοικέ-
Μοῦνος ἐγὼ θεός εἰμι τεὸς, καὶ δεσπότα μοῦνος.
μή σύ θεοῖς ἀθέοισι δίδου θεοτερπέα τιμήν.
Ἀλλὰ κέαρ πισυνόν μοι ἐνὶ στήθεσιν ἀέξοις,
καὶ κτέαρ ἡμέτερον τελέθοις ἴδιον καὶ ἄμωμον.
Σεῖο τιθηνητῆρας ἀεὶ βιότοιο δοτῆροις

ἐν τιμῇ.

ὧν τιμῆσιν ἄγειν, καὶ δεικνῦσι πιθῆσαι.
μηδὲ κατακτείνειν στυγερῶς φθισήνορι χαλκῷ.
ἠδὲ ὁμοζυγίην ζευξίμβροτον ἁγνὰ φυλάσσειν.
Μήτ' ἐπ' ἀλλοτρίοις κτεάτεσσιν χεῖρε βαλέσθαι,
τῶν ἀπόλαυε, θεὸς τὰ τεῆς ὑπὸ χερσὶν ἔθηκεν.
μήτε τε μαρτυρίης σκολιῇσιν μῶμον ἀνάψαι.
Ερπε δικαιοσύνης ῥίψας παρὰ ποσσὶν, ἑταίρῳ.
μηδὲ πόθος σοι ἔοι ἀπανέπιδε γείτονος ἀνδρὸς
σοῖσιν ἐν ἀπάλοισιν ἔχειν ὁμοδέμνιον οἴκοις.
οὐδὲ φίλον κλῆρον, ὅς ἑοῖς ἐνὶ δώμασι κεῖται.

## ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΟ ΑΠΟ-στολικόν.

## Wir gleuben alle an einen Gott/ etc.

Εἰς ἕνα παντομέδοντα μιῇ θεὸν ἔμφονι βουλῇ
οὐράνιον πειθόμεθα, πόλου κτιστῆρα καὶ αἴης.
ὃς κνεφέεσσιν ἑαυτὸν ἔδωκε βροτοῖσιν
μειλίχιον σωτῆρα, καὶ υἱάσιν ἴσα φίλοισιν
ἣν εὔνοιαν ἅπασιν ἐπέσταγεν ὀλβιοδώτην.
ὃς βίοτον παρέχει μελιτερπέα δευομένοισι.
Σῶμά τε καὶ ψυχὴν ἐθέλει χείρεσσιν ἑῇσιν
Ἀμφιέπειν, σφετέρων τεκέων, αἰεί τε φυλάττειν.
ὄφρα μὴ οὐλομένοισιν ἐπαυτήσειεν ὀλέθροις.
καίπερ ἄνενθεν ἐὼν, πάντων μάλα κήδεται ἀνδρῶν.

τοὺς καὶ ἀειφρούροισιν ἑοῖς ἐπιδέρκεται ὄσσοις,
πάντα τε πανσθενέεσσιν ἑῆς, ἐνὶ χείρεσι κεῖται.

Ἐς τε δικαιοσύνης σεμνὸν ζαθέοιο πελείστην
χριστὸν, ἀοσσητῆρα βροτῶν, πιθόμεσθα πρόπαντες,
ἄμβροτον υἷα θεοῦ, καὶ ἔμφονα ῥύτορα θνητῶν,
ὃς σὺν πατρὶ ἄναρχος ἔχει πολυάστερον ὄλυμπον,
ἶσα θεῷ γενετῆρι μέγα κράτος ἀμφιβεβληκώς.
καὶ εὖχος περίσημον ἐπουρανίοισιν ἀγητὸν,
τὸν μήτηρ χαρίεσσα γάμων ἀμύητος ἐοῦσα
γείνατο, σάρκα νόμοις καινοῖς ἀναδύντα βροτείην
Πνεύματος ἐγκύμων ἐξ αἰθροφεγγέος αἴγλης.
ἠδὲ βροτοὺς ὅσσους ψυχοφθόρος ἔκλασεν ἄτη
Σταυρωθεὶς οἰκτρῶς, ζωαρκεῖ ῥύσατο πότμῳ,
Αἰθέρι τ' ἐγκατένασσε θεοῦ τ' ἐνεθήκατο κόλποις.
καὶ λίπε νεκροδόκον καὶ ἀτερπέα χῶρον ἀναστὰς
χειρὶ σὺν ἀμβροσίῃ πατρὸς μεγαδυναμένοιο.

Πνεῦμα δὲ εἰς ἅγιον πιστεύομεν ἰσόθεον φῶς,
Συνδύναμον γενετῆρι, δὲ υἱεῖ πατρογενήτῳ,
πάνσοφον ἡγεμονῆα, παρήγορον ἠπιόδωρον,
τῶν ὀλιγοφροσύνῃσι πεπαρμένον ἦτορ ἐχόντων
ἁγνίζοντ' αὐτοὺς θεολαμπέσιν ἀκτίνεσσιν,
ὅς τε θεοκλήτων θεοσέπτορα σύλλογον ἀνδρῶν,
Ναιόντων ποράλην θαλερώπιδ' ὑπ' εἰρηνείῃ,
εἰς ἓν ἄγει, καὶ πᾶσιν ὁμόφρονα θυμὸν ὀπάζει.
ἔνθα θεοῦ δ' ἰότητι πέλει λύσις ἐκ κακότητος

ψυχο-

ψυχοβόρου, τὸν σαυροκρεμῆ διὰ χριστὸν Ἰησοῦν.
πᾶσα λιπεφθόγγοις σὰρξ καὶ ἐνέροισι πάροικος
ζήσει, ἐγερσινέκρου φωνῆς ἀΐουσα θεοῖο.
τῆς δὲ μεριμνοτόκου βιοτῆς μετὰ πένθιμον οἶμον,
θήσομεθ' ἐς ζωὴν τὴν μὴ χρόνος οἶδεν ὀλέσσαι.

## ΤΗΣ ΠΡΟΣΕΥΧΗΣ ΤΗΣ Κυριάκης παράφασις.

**Vatter vnser im Himmelreich/**
**Der du vns alle heissest gleich/ rc.**

Ὦ πάτερ ὃς βηλοῦ ῥίον ἀστεροφεγγὲς ἐνοικεῖς,
Ἄμμιν τ' εὐνομίης ἐπετείλαο ἔργα φυλάσσειν,
ἶσα κασιγνήτοισι, μία τοὺς γείνατο μήτηρ,
καὶ σε λιταῖς καλέειν σε ἐς οὐρανὸν ὄμμα τιταίνειν.
Δὸς μὴ εὐξάμενοι κενεῇ μόνον ἤθρι λῶμεν (χαῖς-
τρυσμὸν, ἀτὰρ κραδίην σοι καὶ πέμψοιμεν ἅμ' εὐ-
Οὔνομά σευ πολύσεμνον ἔχον κλέος ἄφθιτον αἰεὶ,
ἁγνῶς εὐρείης χθονὸς ἐνναετῆρες ἔχωσι.
Τέρψιος οὐρανίης κοινὸν ταμιεῖον ἁπάσης
ῥῆμα, διδαχθήτω καθαρῆς γνώμῃσιν ἀμώμως,
ὄφρα κακὸν στυγέοντες ἐνὶ φρεσὶν ἡμετέρῃσιν,
ἤθεσι καὶ πραπίδεσσιν τεὸν κατὰ οὔνομα σεμνὸν
ἕλκωμεν ζωὴν ἁγνοπρεπέα καὶ ἀμεμφῆ.
Δόγμα νόθον βελίαο κακοῦ ψυχοφθόρον ἔργον

τῆλόθι χριστοσεβῶν βάλε λαὸν ἰόντα κέλευθον
πουλυπλανῆ ἄτης φρενοβλαβέος ἐξανάλυσον.
σεῖό τε νῦν μετέῃ βασιλὴ θνητοῖσι βροτοῖσιν,
τήν τε μετὰ ζωὴν ἐν ἀτερμάντοισι διαίταις.
πνεῦμα θεῖον τὸν ἀεὶ πραπίδων κευθμῶνας ἐνοικοῖ
ἡμετέρων, ἀρετῆς κοσμούμενον αἰολοδώροις,
Δαίμονος οὐλοὸν οἶστρον ἀάχετον οὐκ ἐπιεικτὸν,
χείρεσι πανσθενέεσσιν ἀπόσβεσον ὑψιμέλαθρε,
Ἀνδράσιν εὐσεβέεσσιν μὲν ἐκτύπεν οἶστρον ἀμύνων.
Ἐν χθονὶ σεῖο θέλημα γένοιτο καὶ ὡς ἐν ὀλύμπῳ,
τλημοσύνην τ' ἔνσταξον ὅταν νέφος ἔχραεν ἄτης
καὶ ὀδυνηφορίῃς ἡμᾶς μινυρῇσι βαρύνει.
ἡμετέρας κατέρυκε φρένας πανθελγεῖ μύθῳ,
σοὶ εἶν εὐτυχίῃς τε συμπαθίῃς τε πιθέσθαι,
Σαρκὸς τ' αὐδρομένης στυγερὴν ἀνάπαυσον ἐρωὴν
αἰὲν ἐνικλώωσαν ἄγαν βουλήμασι σῇσιν.
Σήμερον ἄμμιν ὄπαζε πατὴρ ἐπιούσιον ἄρτον,
ὧν τε χατεῖ βιοτὴ μερόπων πλήθους μεριμνῶν.
μαῖα τ' ἐρικλαύθμων πτολέμων ἔθεις ἀλγεσιδώρων,
μὴ χθόνα ἡμετέρην ὀλοῇς στροφάλιγξι ταράσσοι.
ἡμῶν δ' ἀπόπεμψον ἑκὰς ποτὶ τέρματα γαίης
Λοιμὸν ὁμῶς ῥαιστῆρα βροτῶν, καὶ λιμὸν ἀτερπῆ,
μάστιγα δυσσεβέος κραδάοντα φοβαλγέα λαοῦ.
ξύμπασιν βιότοιο βεβαιώτειρα παροικοῖ
Εἰρήνη χαρίεσσα, ὁμότροπος ἀνθρώποισιν.

μηδὲ

μηδὲ φιλοκτεάνοιο νόου βληθέντες ἐρωῇ
κέρδεσιν οὐκ ὁσίοισι μιαίνωμεν φίλον ἦτορ.
Ἀμπλακίην καὶ ἄφες ξύμπασαν τυχολέτειραν,
μὴ φόνια πανθαλέοισι κατασμύχοι ὀδύνῃσιν,
οἷα κακὸν φονέουσιν ἐνὶ φρεσὶν ἀνδράσιν ἡμῖν
συγγνώμην ἔχομεν, δαμάσαντες ἀνηλέα θυμόν.
πᾶσιν ἐνὶ στήθεσσι θελήμον' ἔγειρον ἐρωὴν,
ἀλλήλους ὀνέειν ἐν ὁμοφροσύνῃ τ' ἀγάπῃ τε.
Μήτινα δ' ὃς δολεροῖσι σοφίσμασι πειραθῆναι
δαίμονος ὠκνώου κακὰ πᾶσιν μητιόωντος,
δεξίτερος ἄμμιν καὶ ἀρίστερος ἄλλα παρείης
χραισμήσας κραδίας, φορέοντ' ἀντίρροπον ὁρμήν.
ἡμᾶς πίστις ἄσειστος ἐν ἔντεσι πνευματικοῖσι
κοσμήσοι, καὶ πνεῦμα προηγμένον αἰθέρος ἐδρῶν,
ἐξ ὑπάτου κραδίας παραμύθια μείλιχα φαίνοι.
Δυστυχίης τε λύσειας ἀνατλήτοιο πρόπαντας
ὕμμιν ἐπεὶ ἐφύπερθε καρῆς βαρὺς αἰωρεῖται
θυμοβόρου αἰὼν καμάτοιο θάλασσαν ἀνοίγων.
Ἀΐδου θανάτοιο βίην ἀτὲρ πᾶσιν ἀλάλκοις,
ἡμῖν καὶ ἔνσταξον ἰήτορα μῦθον ἀνίης,
Ἄγχι τελεσσιμόροιο παρεστότος δρόμου ἠοῦς.
τρίλλιστον εὔποτμόν τε δίδου καὶ τέρμα βίοιο,
ἡμετέρην τε τεῷ ἐνὶ κάτθεο κόλπῳ.
ΑΜΗΝ. τοῦτο μὲν ἐστὶ ἐτήτυμον ὧδε γενέσθω,
Πίστιν ἐνὶ πραπίδεσσι θεὸν αὐτὸν αἰὲν ὀφέλλειν.

ὄφρα τεῶ

ὄφρα τὰ νῦν λιτόμεθα πατὴρ ἱκετήϊδι φωνῇ,
Πιστεύωμεν ἕκαστα νόῳ πειθήμονι πάντες,
στῆσι δ' ὑποσχεσίῃσι πεποιθότα θυμὸν ἔχοντες,
γλώσσῃ καὶ κραδίῃ ἐρέωμεν ὁμόφρονες ΑΜΗΝ.

## ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ.

## Christ vnser Herr zum Jordan kam/ etc.

Χριστὸς ἀπόρροον ἦλθεν Ἰορδάνου ποτὶ ῥεῖθρον,
ψαλμοσύνης γενετῆρος ἑοῦ μεγαδυναςνοιο,
τὸν δ' ἁγιορρέκτοις παλάμαις ὕδωρ ἐπιχεύας
θεῖος Ἰωάννης βαπτίζετο, ὄφρα τελέσσοι
πάντα τὰ ἀρχῆθεν τελέειν πεπρωμένα κεῖτο
Ἔνθα βροτοῖσιν ἔταξε χαμαιγενέεσσι λόετρον,
Ἀνδρομένης κραδίης στυγερὴν κακότητα καθαίρειν,
ἠδὲ κατακλύζειν θανάτου φθισήνορος ἀλκὴν,
ὄντε διὰ πότμον ἑὸν λύθρον πορφυροειδὲς,
ὄφρα παλιγγενέες ζωὴν δαίησιν ἀμεμφῆ.
Τούνεκα νῦν δέξασθε φρεσὶν πάσῃ τε μενοινῇ.
ὑψιμέδων τι θεὸς ζάθεον βάπτισμα κικλήσκει,
Καί τι πιθεῖν πάντας θεοσέπτορας ἄνδρας ἔοικεν,
ὄφρα θεοπλανέων κακὸν ἐσμὸν πάγχυ φυγεῖεν.
Κῦμα χυτὸν, θεῖη ἐθέλει φάρτ' ἔμμεναι ὀμφῇ,
Ἀλλ' οὐ πηγαῖον μοῦνον μινυώριον ὕδωρ,
ῥῆμα θεοῦ ἁγίῳ δεσμῷ συνάρηρε ῥεέθρῳ,

Καὶ χέ-

Καὶ χάρις ἀγλαάδωρος ἔνεστιν θαυμασιουργοῦ
Πνεύματος, ἁγνίζοντος ἀλεξιμόροισι ῥεέθροις,
Ἀνθρώπων ῥυπόωντα πολυθρήνοισι κακοῖσι.

Τοῦτο δὲ συναέταις φῆνεν θρεπτήνορος αἴης,
σήμασιν ἀμφαδίοις, καὶ ἐῷ πιστώσατο μύθῳ.
μακρὸν ἄϋσε πατὴρ γὰρ ἀπ' οὐρανίης περιωπῆς,
πᾶσιν ἀκουέμεναι βαθυδινέος ἐγγύθι ῥείθρου,
καὶ ἔφατ', οὗτος ἐμοὶ πέλεται πεφιλημένος υἱός.
τὴν δ' ἐφ' αὐδομένην φιλέω περὶ κῆρι γενέθλην,
πᾶσιν ἐγὼ θνητοῖς κέλομαι ναέτῃσιν ἀρούρης
πείθεσθαί τ' αὐτῷ καὶ ἔμπεδα πάντα φυλάσσειν
ἔρδειν ὅσσα γε κεῖνος ἐποτρύνει καὶ ἀνώγει.

Ἐν δὲ μέσου ποταμοῖο πολυσμαράγοισι ῥοῇσιν
παῖς μεγάλοιο θεοῦ βρότεον περὶ σῶμα βεβληκὼς
ῥαντισμοῖς ἴσῃσι λελουμένος ἱροκαθάρμοις,
πνεῦμά τε ἁγνοφαὲς πτεροείμονι ὑψόθεν ἶσον
εἶδός τε μέγεθός τε πελειάδι, κρατὸς ὕπερθεν
Ἀθανάτου δινεῖται ὑπὲρ πτερύγεσσιν ἀερθὲν,
ὄφρα κε βαπτισθέντες ἀκεσσιπόνοισι ῥεέθροις
Ἀπλανέες πραπίδεσσι πιθώμεθα χριστοφίλοισιν,
γεννητὴν καὶ υἱὸν ἀμύμονα, πνεῦμά τε θεῖον,
χρῶτ' ἀπονίψασθαι ζωοσταγέεσσι ῥοῇσιν,
καὶ τὸ πέλοι σημεῖον ἀειφαλὲς ἱμερίοισιν,
τρισσοφαῆ θεότητα σὺν ἐν χθονὶ ἀνδράσιν οἰκεῖν.

Ποίμνης ἡγεμονῆας ἐῆς ζωουργὸς Ἰησοῦς

χριστὸς μήστωρ μερόπων, κέλεται κακὸν ἠδὲ κόσμου
ἀπελέειν, σφετέρῃς ὅτ' ἀλιτροσύνῃσι κακῇσιν
ἔγκυρσεν θανάτου σκοτίῃσι ἀμβροσίοισι,
ὄφρα φρένα τρέψοι προτὶ γνωσίκακον μετάνοιαν.
πίστιν ἐνὶ στήθεσσιν ἑοῖς θεοπρεπὸν ἀέξων,
καὶ λουτροῦ ἁγίοιο λαβὼν γλυκυφάρμακον ὕδωρ,
ἐστὶ σόος, βλάστημα παλιγγενὲς ἐστὶν ἐκεῖνος
παγκαθαρόν, λυγροῖο φυγὼν ὠδῖνας ὀλέθρου,
αἰθέρος ἀστερόεντος ἔχει βίον ὀλβιόθυμον.

Ὃς δ' οὐ πιστεύει τούτῳ χαριδώτορι μύθῳ,
κεῖτ' ἀεσιφροσύνης ὑποχείριος ἀμπλακίῃσιν,
ἀνδράποδον πέλεται θανάτου, σατανᾶ τε κακούργου,
ἐς τ' ἐνέρων ἀκάμαντα τόπον βαρύτειρον ἱκάνει,
κεῖθι θεὸς στυγέει σελακέθρονος ἶσα μελαίνῃ,
ἔργα τὰ πρὶν τελέει, καὶ ἤθεα κεδνὰ βίοιο.
πτῶμα γὰρ ἀρχέκακον, καὶ θνητὸς πτώσιμος ἀρχήν,
ἐκ τ' ἀθέοιο πατρὸς πεπλασμένη οὐλομένη σάρξ,
καὶ σφετέροιο νόοιο κακορραφίαι ἀλεγειναί,
πάμπαν ἀμαυροῦσιν καὶ αἰσχύνουσιν ἅπαντα.
οὐδ' αὐτῷ δύναται εὑρεῖν ἄμπαυμα κακοῖο.

Ὀφθαλμοῖο βολαὶ εἴδουσι περιτρεφὲς ὕδωρ,
οἷον ἀφύσσουσιν μέροπες χαροπῶν ἀπὸ κρουνέων,
πίστις δ' ἀστυφέλικτος ἑῆς φρεσὶν ἔνδον ἀνάπτει,
παυσίκακον δύναμιν χριστοῦ παθέεσσιν ἐοῦσαν.
ἐστὶ γὰρ πορφυρόεν βεβαμμένον αἵματι χριστοῦ

ῥεῖθρον

ῥεῖθρον ἀληθὲς ἐκεῖνο, φέρον πολύτιμον ὅ τῆς
φάρμακον, ἣν σφετέρησιν ἀτασθαλίῃσιν Ἀδαμος,
πρωτοπάτωρ ξύμπασιν ἐπήγαγεν ἀνθρώποισιν,
ἄς τ' αὐτοὶ ἀσκοῦσιν ἀεὶ κακοεργοὶ μόχθῳ.

## ΥΜΝΟΣ ΠΕΡΙ ΤΟΥ ΔΕΙΠΝΟΥ

Κυριακοῦ ἢ εὐχαριστίας.

## Jesus Christus unser Heylandt/ rc.

Μειλιχόθυμος ἄναξ μερόπων φῶς χριστὸς Ιησοῦς,
ὃς πατρὸς σφετέρου παῦσεν φθισίμβροτον ὀρ-
γὴν,
Ανδρομένην παθέεσσι πολυθρήνοισι γενέθλην
ῥύσατο ἐξ ἀίδου, πρότερον ποτὶ κῦδος ἀναξεν.

Ὄφρα κεν ἡμετέρης ἥ τόδ' ἐν φρεσὶν αἰὲν ἔχωμεν,
μηδὲ χάριν λήθη κεύθοι εὐεργεσιάων,
σάρκα φαγεῖν μερόπεσσιν ὄπασσεν ψυχοβότειραν,
ἐνδόμυχον μερέεσσι πολυπόρεος Δημητρὸς
(θαῦμα βροτοῖσιν ἰδεῖν μέγα δ' αὐτοῖς δῶρον ἔνεστι.)
ἐντ' οἴνου κρητῆσι πιεῖν βιοτήποθεν αἷμα.

Ὃν δ' ἄρ ἐποτρύνει θυμὸς σίτοιο πάσασθαι
εἰλαπίνης ἱερῆς, πάντα φρεσὶν ἀμφὶς ἴδοιτο,
πᾶς γὰρ ἑλὼν μιαροῖς μετὰ χείλεσι σεμνοθαλείην,
Αντὶ βίου γλυκεροῦ πολυαλγῆ κτήσατο πότμον.

Οὐράνιον γενετῆρα νόῳ γλώσσῃ τε γεραίρειν
ὃς ψυχῇ προύθηκε τεῇ χαριέσσαν ἐδωδὴν,

ἦ ἄτε

ἢ ἀπὲ σωσιλέων θανάτῳ πόρε κύρμα γενέσθαι,
αἵματι πορφυρέῳ ἀλιτήματα φαιδρύνασθαι.
Χρὴ φρεσὶν ἀτρέπτοισι θεοῦ ἐπέεσσι πιθέσθαι,
τὴν βρῶσιν κάμνουσιν ἔμεν παυστήριον ἄτης,
ὧν κραδίη στένεται τρυσίφροσιν ἀμπλακίῃσιν,
καὶ συνοχῆς μανίῃσιν ἐλαύνεται ἐγρεσιθρήνου.
Τοῖον θησαυρὸν χάριτος πλήθοντα πανάγνης,
πένθεσι τειρομένη κραδίη μινυροῖσιν ἐρευνᾷ,
ἐσθλὰ παθῶν φρεσὶ σῇσιν ἀφεξόμενος ἤλυθος ἁγνῆς,
μή σοι ἀτασθαλίῃς πολυπήμονα μισθὸν ἀγείροις.
Χριστὸς ἔειπε λόγῳ πανθελγεῖ, δεῦτε πένητες,
ὕμμιν ὅπως ἐμὸν οἶκον ἐνιστάξαιμι φιλόφρων.
οὐ χρεὼ ἀρτεμέεσσιν ἀκέστορος ἠπιοδώτου,
πᾶσι γὰρ ἀνθρώποισιν ἀνὴρ ἐπίχαρμα τέτυκται,
Ἀρτεμέσιν δοὺς φάρμακ' ἀλεξητήρια νούσων.
Εἰ δὲ τεῇ ψυχῇ δύνασαι βαρὺν οἶτον ἀμύνειν,
τίπτε με χρῆν θανέειν καὶ ἀεικέα πότμον ἐπισπεῖν,
σῖτος μηδὲν ὀνεῖ σε θεομνήστοιο τραπέζης,
φάρμακον εὖ τὸ σοφὸς ἢ ἔχων φρεναλγέος ἄτης.
Πειθόμενος πραπίδεσσιν ἀναμφήριστα ἢ τοῦ,
συμφώνῳ κραδίῃ τε μύθῳ ἐξαγορεύεις,
ἰθύνομαι τά δὲ δεῖπνα μετέρχεαι εἰλαπινάστης,
καὶ ἄκος ἦδυ φέρει ψυχῇ νουσοχθεῖ εἶδαρ.
Πίστις ἀειστόμενος καὶ ἔμφρονα καρτερὸν εἴκοι,
πλήσιον ἐνδυκέως φιλέειν καὶ πέμεν ἄνδρα,

τοῦ τε φὲν' ἀμπετάσαι ἐν χεῖρα σώτειραν ἐάων,
οἷα φιλάνθρωπός σε θεὸς πολὺ κῆρι φίλησεν.

## ΥΜΝΟΣ ΠΕΡΙ ΤΟΥ ΔΕΙΠΝΟΥ
τοῦ Κυριακοῦ εὐχαριστικός.

**Gott sey gelobet vnd gebenedeyet/ Der vns alle/ ꝛc.**

Εὐλογίης λιγυροῖσιν ἀείδετε κύριον ὕμνοις,
ἡμέων ὅς σίτησεν ἐδητύϊ ἦτορ ἀέξῃ,
Σάρκα φαγεῖν ἔπορεν, καὶ πινέμεν αἷμα πάναγνον,
τῶν διὰ ἀπόρυσον ἁμαρτάδας ἄμμε πρὸ πάσης,
κοίρανε πανσθενέτη, ζωῆς τε δίδου ἀπολαῦσαι.
Σῶμα τεὸν διὰ χριστὲ φερέσβιε λῶτερ ἐάων,
ὅττ' ἀπεβλάστησεν μαρίης θεογεννητείρας,
καὶ διὰ θέσκελον αἷμα βροτῶν ἄχθος ἀμπλακοερ-
θνητογενεῖς ἀπὸ ῥῦσον ἀνηκέστοιο κακοῖο. (γῶν,
Σῶμα μέγα ζάθεον μεγάλοισιν ἐδέξατο πότμον,
ὄφρα πέλοι μελέοισι βροτοῖς ζωαρκὲς ἄκεσμα,
οὔτι γέρας θνητῶν γὰρ δωρήσαιτο γενέθλῃ
κρεῖσσον, μνημόσυνον σφετέρων εὐεργεσιάων.
Ω ἄνα πανσόφε φίλτρον ὑπέρτερόν σε ἀνώγειν,
ὄφρα μέγα ῥέξειε βροτοὺς καὶ ἀθέσφατον ἔργον
αἷμα τεὸν, τό κεν ἡμετέρην ἀπεμάξατο λώβην,
ἐν χερὶ ἀθανάτοιο πατρὸς μειλίξατο πᾶσιν.

Ἐν φρεσὶν ἡμετέρῃσι θεὸς φάος ἁγνὸν ἐγείροι,
ὄφρα θεουδείης ὀρθὴν πατέωμεν ἀταρπόν,
πᾶσιν δηϊοτούσῃ ἀπάτῃ ἔνι πρόφρονι θυμῷ.
μή τινος ἦτορ ἵκοιτο ποτ᾽ ὀψίνοος μετάνοια,
χεύσαιθ᾽ ἢ θαλίης ἱερῆς ψυχαλθέος ἀκτῆς.
Πανδαμάτωρ σέο πνεῦμα θεὸς μεγακυδὲς ὀπάσσον
εὐκαμάτων αἰεὶ ἔμεναι ἰθύντειρα πράξεων,
ὄφρα τεῆς ζαθέης ἰθύφρονα θρέμματα ποίμνης,
ζώοι ἐν εἰρήνῃ, καὶ ὁμοφροσύνῃσιν ἐρανναῖς.

## ΥΜΝΟΣ ΠΕΡΙ ΕΥΧΑΡΙ-στίας.

## Mein Zung erklingt vnd frölich singt/ ꝛc.

Γλῶσσα φίλη μοι ἄειδε ὑπ᾽ εὐκελάδοισιν ἀοιδαῖς,
Οὐρανοδώρητον Χριστοῦ δέμας αὐτολοχεύτου,
ἠδὲ καθαρσίκακον ῥόον αἵματος ἀμβροσίοιο,
φάρμακον ὃς ῥὰ βροτοῖσι δι᾽ ἑλκέων οὐταμένοιο
ἔβλυσε κοσμοσόου σωτῆρος ὑπορραχθέντε,
ὅς κεν ἀπεβλάστησεν ἀπειρογάμοιο γυναικός,
ξυμπάντων βασιλεὺς ἐθνέων ὅσα γαῖαν ἔχουσιν.
Πατρὸς ἀτερμάντοιο μιγεὶς βουλῇσι βροτοῖσι,
παρθενικῆς ἁπαλῆς ἀπὸ γαστρὸς ἐσήλυθε κόσμον,
κύκλα κυλινδομένων τρία καὶ τριάκοντ᾽ ἐνιαυτῶν
πλῆσεν ἑῆς βιοτῆς, ἔπειτα δ᾽ ἐς οὔατα θνητῶν,
ἔσπορεν

ἔσπορεν ἄφθιτον μῆτιν ἑὸν λόγον, ἀλλὰ φῆνας ἐξ
Σήματα, δυσμενέων τε παθῶν κακὸν ἔμπεσε χερσίν.
Αὐτὰρ ἐπεὶ χρόνος ἦλθεν ἑλεῖν θαλίην ἐρατεινήν,
οἷς σὺν ἀδελφειοῖσιν ὁμωροφίοισιν ἐκλίνθη,
Ἔννομα ἧσι θεσὶν πεφυλαγμένος ἤθεα δ᾽ αὐτὸς
μηλοφάγοιο δὲ εἶδαρ ἀδελφειοῖσι τραπέζης
δαινύμενος, παρέθηκεν ἑαυτοῦ σῶμα φαγοῦσιν.
ὄφρα πέλοι σφρηγὶς θνητοῖσιν ἀμαρτινόοισιν
Ἔμπεδον, ἧς χάριτος τὴν πεῖκα πρὸ πᾶσιν ὀπάζει.
Εἶπεν ἔπος σωτήρ, καὶ γίγνεται νήδυμος ἄρτος,
ὄντως ψυχοτρόφος σάρξ, καὶ χύσις αἴθοπος οἴνου,
λύθρον ἐϋρραθάμιγξιν ἐπιρραῖνον λιβάδεσσιν
ἀνθρώπους ῥυπόωντας ἀλιτροσύνῃσιν ἀνάγνοις,
ἡμερίων λεπτοῖσιν ἀθήκτων μελέτῃσιν.
πίστις δ᾽ ἰθύντειρα καὶ ἐν πραπίδεσσιν ἄσειστος,
δέξεται ἀπλανέεσσι μόνη ξύμπαντα μενοιναῖς.
Τοὔνεκα δ᾽ αὖτα φίλοι περιώσια κυδαίνωμεν
κείνην, ἥν περ ἔτευξε θεοῦ λαοσσόος υἱός,
ὄφρα πέλοι σημεῖον ἀειφανὲς ἧς φιλότητος
καινόν, ἀμαλδύνοντε παλαιγράπτου διαθήκης
θεσμόν, ἀλιτροσύνην φόβον ἐνσκήπτοντα τελοῦσιν.
ταῦτα δ᾽ ἰσόθεος πίστις κραδίῃσι διδάσκει,
ὅσσα περισσονόοισι βροτοῖς μὴ οἷον ἐρευνᾶν.
Κλείωμεν γενετῆρα, καὶ υἱέα μουνογένητον,
καὶ ὕμνοις αἰνεῖτο λιγυφθόγγοισιν ἀήτης

θεσπέσιος, πατρός τε πολυσπερέος ἠδὲ γόνοιο·
τοῖς ὀδυνηφορέησι βαρυνομένοις στυγερῆσι,
φάρμακον ἐν σταλάων γλυκερῆσι παρηγορέησιν.
ἐξ αὐτῶν γὰρ πᾶν ἀγαθὸν μερόπεσσι τέτυκται.

## ΤΑ ΤΗΣ ΚΑΤΗΧΗΣΕΩΣ μέρη ἄλλως.

**Kompt her jr lieben Kinderleyn/
Vnd last vns frölich singen:
Was vnser Catechismus sey/
Der lehrt von grossen dingen.**

Partes Catechismi vna Ode germanica comprehensæ.

Τεκνία δεῦτε σοφὴν ἵνα μολπάζοιμεν ἀοιδὴν
γηθόσυνοι στήθεσσι, κατήχησις δὲ πέλοιτο
ἡμετέρη, σταλάουσα διδάγματος αἰθεροδείκτου
κρουνὸν ἀμετροβαθῆ, τοῦ οὔτι σοφώτερον ἄλλο.
καὶ πρὸς ἀτίμητον καὶ ἀνθρώποισιν ὀνοστόν,
τοῦ δ' ῥὰ δίκη ἰθεῖα κιχήσει κόσμον ἀλιτρόν.
Θεσμὸν ἄναξ δ' ἀνέφηνε δεκάστιχον αἰθεροτερπὴς,
ἑσσάμενος δυνάμει μεγάλῃ κάρτει τε φοβητῷ,
ὄφρα κε γινώσκοιμεν ἐν ἡμετέραις πραπίδεσσιν,
ἔργματα πάντα βροτῶν ἀχρήϊα εἰκελονείρων,
ἠδὲ φύσιν ζωήν τε καὶ αὐτεξούσιον, ἠδὲ
ὅ, τι βροτοῖς μερόπεσσι ἵνα καύχησιν ἐγείρει
κοσμάρχῳ πάμπαν μεγαδυναμένῳ ἀπαρέσκει.

Αἱ μὲν

Αἱ μὲν ἐφημοσύναι ἅγιαι χριστοῖό τε πέλονται,
ὠκυμόρων τε βροτῶν πείσῃ ποθέουσι τελείην,
Ἀλλ' ἀλαπαδνοσύνῃς πεπεδήμεθα βληχροπό-
οὐδέ τις ἐλπωρὴ ἡμῖν ἀγαθοῖο λέλειπται, (νοισιν
σὰρξ γὰρ ἀλιτρογενής, ἀλιτρογενές τε τὸ αἷμα.
οὐλομένης τε δίκης ἐπὶ παμφλέκτοιο γεέννης
ἄξια, ἰθυδίκαο διὰ πλάσιγγα θεοῖο.
Πίστις χριστιαδέων ἐστὶ ποτὶ θεὸν οἶον ὁρῶσα, (γων,
ξυμπάντων προφέρουσα νόμων προφέρουσά τε ἔρ-
κοίρανον ὑψιμέδοντα πολυναετῆρα διδάσκει,
καύχημα θνητῶν ταλέθειν στερέωμά τε βληχρῶν,
Αὐτὸς ἐπεὶ ἐθέλει γενετὴρ ἔμεν ἠπιόθυμος,
ἠδὲ θεόθνητος χριστὸς γλυκυδῶτα λυτρωτής,
ἠδ' ἅγιον φύσημα παρήγορος αἰολόδωρος.
Πουλυτελεῖ χριστὸς μεγαλιμήκεντί τε λύτρῳ,
φαιδρύνει κακίης ἀπ' ἐμὸν κῆρ πουλυμιάσμου,
πίστιν ἀριστότεκνον περὶ χριστὸν φαινέμεν ἔργον,
ἣ μόνον ἀπλανέσιν λέχεται φρεσί, χριστὸς ὀλέθρου
ὅττι κεν ἐξέρυσέν με κακοῦ ἀλιτηριολήπτης,
τοῦτ' ἀπερηξιβίῳ μοι ἐνὶ παραμύθιον ἔστω
ὥρῃ, καὶ πρὸ ἐμοὶ φθονέοι ὀλεσίμβροτος ἅδης.
Πίστις ἀνειδωλίαστος ἀεὶ θεοειδὲς ἐρείδει
πνεῦμα, θεοῦ πάρα δεξαμένη τόδε μυριοδώρου
προπροκυλινδομένη, μέγ' ἀγαλλομένη πραπί-
ἀξιότιμε πάτερ καὶ κοίρανε μουνοσέβαστε, (δεσσιν.

οὔνομά σου μεγακυδὲς ἔχοι κλέος ἐν μερόπεσσιν
νειόθεν ἐκ κραδίης προχέει κινυρόθροον εὐχήν.
Ἔλθοι σὴ βασιλή, καὶ ἐνὶ χθονὶ κοινομελάθρῳ
σοῦ τελέοιτο θέλησις, ἐν ἄκρῳ ὥσπερ ὀλύμπῳ.
σήμερον ἄρτος ἔοι ἐπιούσιος ἄμμιν ἅπασιν.
χρεῖος ἄφες γενετὴρ ὑπερβραχθὲς ἅπασιν ἀλιτροῖς.
ψυχοτακῆ ἡμέων ἄτην καὶ πειρασμὸν ἐρύκοις,
καὶ καταμαλδύνοιφιν δέμας ἤσυχα ἀμπλακοεργόν.
Ἀλλὰ φίλην ψυχὴν κόλπῳ τεῷ ἐγκατάνασσον.
Βάπτισις ἁγνολόετρος ἁμαρτωσύνης ὀλέτειρα,
πίστει τοι στήριγμα βέβαιον ἔφυ ἀλαπαδνῇ,
ἣν ῥα θεοπτολέμων ἄθεα κλονέουσι γενέθλα.
ὄφρα κεν ἀστήεικτως ἐναντία δηιόωντο.
ὑψιμέδων τοκετῷ γὰρ ἐχέφρονι καινολοχεύει,
πρῶτον ἐπεὶ τοκετὸν Ἀδὰμ ἐς κακὸν ἤγεν ἄφυκτον.
ταρταρειόν τε δόμον καὶ ἁμαρτάδα λυγροτόκειαν.
Πνεῦμα διὰ ζάθεον διὰ καὶ ὀδυνήφατον ὕδωρ·
εἰς βιοτὴν τοκετοῖσι νεούμεθα θαυμασίοισιν,
ὧν δὲ θεοῖο θρόνῳ τε πελάζομεν, ἠδὲ προσόψει,
νεκροδόκῳ μιαροῖο σεσηπότος ἐν γῇ Ἀδάμου,
παμπήδην γὰρ Ἀδὰμ μέρος ἐν θνητοῖς ἀποθνήσκει
καὶ αὐτὴρ πάλιν ἄλλος ἐγείρεται εἰκελόχριστος
ὃς σφετέρην διὰ πίστιν ἔχει βίον ἀγγελοειδῆ.
Καὶ ἅμα κλειδοκράτειαν ἐπέγραπε μυθοτέλεστον
Ἀνδράσι δῶρα φέρουσαν ἀθέσφατα, θαῦμα μέγιστον,

ἀμπλακίης κιχέειν ἀφέσεως ἀπὸ λουσιανείρας
θυμοβόρου, οἷον παρὰ παμβασιλῆος ἀνάρχου,
ἠδὲ παρηγορέειν πίστει γλυκύδωρον ἀφύσσειν,
ὅττι θεάνθρωπός σε μόρου ἀπέρυσε Ἰησοῦς,
σοί τε θέλει μακαρισμὸν ἀθρήνοδίαιτον ὀπάζειν.
Ὅττι θεὸς λύει εἰνὶ χθονὶ πουλυβοτείρῃ,
πανθείων στομάτεσσι θεοφραδέσιν θεραπόντων,
τοῦτο καὶ οὐλύμπου ἐν ὑπωρνεφέεσσι μελάθροις
λύσει ἀμπλακιέων πολυθρήνητων ἀπὸ δεσμῶν.
οὐδ᾽ ἀτὰρ οὐκ ἀφιᾶσιν ἁμαρτάδας ἀλιγνοέσσας,
τούτον ἐς ὀκρυόεντα βαλεῖ Ἀχέροντος ἔναυλον,
οὐδ᾽ ἐν ὀλύμπου δώμαθ᾽ ἁμαρτάδος ἐξαναλύσει.
Ἀνθρώποισι θεὸς τὴν ἑὴν ἀγάπην ἀναφαίνει
πάμπαν ὑπέρμεζον καὶ ἀμεζοβαθῆ τελέθουσαν,
ἐν τύνει τε βροτοῖσι χαμαίφοσι θειοθαλείην
ἧς ζαθέαις παλάμαις ἄρτον τὸν οἶνον ὀπάζει
φάρμακον ἀμπλακιέων καὶ ἀπὸ γλώσσης ἀγορεύει.
ἡμέτερον τὸ δέμας θεῖον καὶ αἷμα τέτυκται,
ἔδμεναι ἠδὲ πιεῖν μετ᾽ ἀκηχεμένοις κραδίῃσιν.
Σωματικῶς δέχεται μερόπων στόμα σῶμα θεουδές.
σωματικῶς τε θεὸς ἄκρον τοι λύθρον ἀφύσσει,
πνευματικῶς πίστις δέχεται δύναμιν χαρίεσσαν,
καὶ θεοδειπνομάχων μανιῶδεα λαὸν ἀτίζει.
τοῦτο δέμας χριστὸς μὲν ἐμοῦ ὕπερ ἐγγυάλιξεν
λύθρον ἐμοῦ ζάθεον θ᾽ ὑπερέκχεεν, πίστις ἄσειστος


πιστεύει

πιστεύει στερροῖσιν ἐπεμβαίνουσα θεμέθλοις.
Σοὶ κλέος εἰς αἰῶνας ἔοι πολύαινον ἀλήκτως (ὡν.
πανσθενέτης, χάριτός τε καὶ ἔμπλεος οἰκτοσυνά-
ὃς πάντας γ' ἐκάλεσας ἐς ὄλβον μακαρισμὸν
ῥῆμα τεὸν διὰ σεμνὸν, ἀειγανέος βιότοιο
λαμπάδα δὸς στερεῶς μυχάτοις πραπίδεσσι φυ-
ῥῆμα τεὸν θεῖον, πίστιν τε θεωσιάνειραν. (λάσσειν
ὄφρα δὲ ταῦτα γένοιτο λέγωμεν ὁμόφωνες Ἀμήν.

## ΤΑ ΤΟΥ ΧΡΙΣΤΟΥ

συντόμως.

Hilff Gott daß mirs gelinge/ ꝛc.

Commemoratio beneficiorum Christi summorũ & præcipuorũ.

Νῦν γλῶσσαν κατὰ μοῖραν ἐμὴν ἴθυνε σὺ ἦτορ,
ὦ θαυμαστότερον κτίσμα κυκλοειδέος αἴης,
εὐκρέκτοις ἐπέεσσι μέλος σύμφωνον ἀείδειν,
καὶ τεὸν εὐύμνοισιν κλέος στομάτεσσι λιγαίνειν,
ὄφρα κε γηθόσυνος προχέω θεόπνευστον ἀοιδήν.
ῥήματα ἀμφὶ τεοῦ μολπάζων ἔμφωνι φωνῇ
τύνη ἐμοὶ πάρστηθι μεγασθενὲς ὄρχαμε κόσμου.
Ῥῆμα σὸν εἰς αἰῶνας ἀτέρμονας ἔμπεδα μίμνει,
οἷα κεν ἡσαΐας ἀναφαίνει θεσκελόμητις,
ἐγγράφετε βίβλοιο θεογλώσσου σελίδεσσιν,
πρὶν γοῦν καλλιπόνητον ἀϊστώσοιτο θέμεθλον
εὐρυχόρου κόσμου, καὶ κτίσματα ὅσσα τέτυκται

πασσυδίη

παρουσίῃ ἄτῃ φθοροποιῷ πάντ' ἐνικύρσοι,
πρὶν θεὸν ὅσσα λάλησεν ἀγακλυτὸν ἀρνήσασθαι,
Χριστὸς ἄναξ μεγάλοιο νόου λόγος εὐπερίγραπτος,
οὐρανόθεν καταβὰς, ὑποδύσατο κόσμον ἀλιτρὸν,
σὺν θαυμαστοῖσιν πολλοῖς τεράεσσι καὶ ἔργοις,
δυσκερδεῖ πραθεὶς ὤνῳ ἀθέοισιν ἑβραίοις,
ῥιγεδανοῦ πεφόρητο λαθροπράτην δι' Ἰούδαν
εἰς χεῖρας θανάτοιο θεοῦ σωσίμβροτος ἀμνός.
Δαινύμενος δόρπον δ' ἄρ ὁμοκλινέεσσι μαθηταῖς,
νυκτὶ ἐν ἀγχιμόρῳ, παλαιόθιον ἀρνεοθοίνην,
οὐ φρεσὶν ἐν σφετέρῃσιν ἐλάνθανεν αἰολοβούλοις,
Ἀλφιτόπεπτον ἑλὼν ἄρτον χείρεσσιν, ἔειπεν,
εἰλαπινάζετε σῶμα διαπροθέωτον ἐμοίγε (γῶν.
φῦ τόδ', ὑπὲρ ἡμέων πεπορισμένον ἀμπλακοερ-
εἰς ἄφεσιν χαρίεσσαν ἁμαρτάδος ἀλγεσιθύμου.
Ἐν τε κυπέλλοισιν μεθυχανδέσιν χερσὶν ἔνειμεν
αἵματος οὗ ῥα θάμιγγας ἐρυθροβαφεῖς ζαθέοιο,
ἀγγελέειν πάντεσσιν ἐὸν μινύτσει μύθῳ (λος.
κεκλόμενος θάνατον, κλυτὸς ὥσπερ ἐγράψατο Παῦ-
ἐνθεόθινον ἔδων τόνδ' ἄξιος εἰλαπινάστης
ἄρτον, ἑοῖσι δέπας τόδε, καὶ στομάτεσσιν ἀφύσσων,
οὐ θανάτου στονόεντος ἐσόψεται αἰλινὰ δεσμά. (θον
Καὶ τότε νίπτε πόδας τελέσας ὑποδρήστρα μόχ-
κείνης ἱσταμένης ὥρης σφετέρων θεραπόντων,
φθέγγετό τε γλυκεροῖσι διδάγματα θέσκελα πᾶσιν

 ῥήμασιν.

ῥήμασιν, ἐκπροχέων στόματος θεόπνευστον ἰωὴν
ἀλλήλους φιλότητι περιπτύσσοιτε μελιχρῇ·
ὄφρα κε γινώσκοι μερόπων γαιήια φῦλα,
ἔμμεναι ἡμετέρους ἡμᾶς θεράποντας ἀγαυούς.

Χριστὸς ζωοδότης ἐν ἀλωῇ ἀγλαοδένδρῳ.
ᾧ γενέτης ἐπεὶ ἠράσατο κοσμομέδοντι,
ἔνθα φερεσσακέων θαμινὰς ἐπέμεινε φάλαγγας
ἑβραίων, στιβαρῆς μιν ἀλυκτοπέδῃσι δησάντων,
ἔνθεν ἀτὰρ κριτέω σοβαρῷ ἐπελάζετο θώκῳ,
ᾗχι δέμας ζάθεον σμωδιγγοτόκοισιν ἱμάσθλοις
μάστιξαν καὶ ἔδησαν ἀκανθοφόροισι κάρηνον
στέμμασι, καὶ ὀδύναις ἀδίκου παρέδωκαν ὀλέθρου.

Σταυρῷ αὐτὰρ ἔπειτα προσήπτετο τετραπρέμνῳ
ὑψωθείς, ποιμὴν κοσμοσσόος ὑψιγένεθλος,
ἵμερον ἀνδρομέης γενεῆς ἔχε, τοὔνεκεν εἶπε,
ἀζαίνει μοι ἀζαλεῖον στόμα δίψα βαρεῖα,
σημαίνει τόδε, δίψαν ἔχω μερόπων μακαρισμοῦ.
τοὔνεκεν ἀμφίβαλεν θνητῶν νουσαχθέα σάρκα
γαστέρα παρθενικῆς ἀχραντοτόκοιο περήσας. (σιν

Ἐγκλιδὸν ἀμβρόσιόν τε βαλὼν κάρα, πανσθενέεσ-
χείρεσιν οὗ γενετῆρος ἐπέτρεπε πνεῦμα θεουδές,
θεῖος Ἰωάννης ὥσπερ γράφει ἔμφονι βίβλῳ.
ἄψυχον παλάμῃσι μετήορον, ἤρετο σῶμα
σταυρόθεν ἄντρῳ τε βαθέος κακκρύπτετο τύμβου
ἔρχετό τε τριτάτῃ πάλι πρὸς φάος ἠριγενείης

[illegible]ιατε πρὶν προέειπε χέων μαντώδεα φωνήν.
Ἤμασιν ἐν τ' αὐτοῖσιν μαθητῶν Χριστὸς Ἰησοῦς
ἄμβροτος, ἐξεδίδαξε δυωδεκάριθμον ὅμιλον,
ἀγγελέειν σφετέρων λαοσσόα δόγματα μύθων,
πᾶσιν ἐφημερίοισιν, ὑπ' ἠοῖ ναιετάουσιν.
πίστιν ἔχων λουτρῷ τε λελουμένος ἀρχιβίοιο
σὴν ἐξικάκοις σταγόνεσσιν, ἕξει βίον οὐ φθινύθοντα,
Χριστὸς ὃν εἰρήναρχος ἑῷ ἐκτήσατο πότμῳ.
Λουκᾶς εὐθεόγλωσσος ἑῷ γράφε σώφρονι βίβλῳ,
ἀμβασίης σφετέρης πέρι πρὸς πολυάστερον ὄλυμπον,
ἐμμενέως μερόπεσσι παρέμμεναι εὐσεβέεσσιν
ῥῆμα διὰ ζωοργὸν ὑπόσχετο, καὶ κατένευσεν,
οὔτινος οὐ δύναται δύναμιν μάλα θαυμασιουργόν,
κάρτος ὑπερβάλλειν ἑτέρων ἀμέτρητον ἁπάντων.
Ἰητῆρα κακοῦ οὐλυμπόθεν ἰδὺν ἴαλλεν,
πνεῦμα παρηγορίῃσι φρένας μελιτερπέσι τέγγον,
ὅ, τεῦχεν ὀρθοκέλευθος ἐὴν προσοδοιπόρος οἶμον,
ἰθὺν ἐς ἀτρεκίης θεοτερπέος, αὐτὸν ἐπ' εὐχαῖς
βυσσόθεν ἐκ κραδίης λιτανεύσομεν ἡμετέρῃσιν.
ὄφρα κεν οὐ προλίπῃ ἡμᾶς σφετέρῃσιν ἀρωγῇ.
Λισσώμεσθα πρὸ πάντες ὑπὲρ καὶ ἀναξιανειρέων
ἡγεσιέων, καί περ πάσχοντες ἀτάσθαλον ὕβριν
ἐξ αὐτῶν, καὶ δυσμενέων ὑπὲρ οὐλοοεργῶν,
ὄφρα κεν εὐμενέοι αὐτοῖς θεὸς ἠπιόθυμος.
Τοῦτο μέλος Μυλλῆρος ἐν εἱρκτῇ ἠεροειδεῖ,

ἤειδεν

ἤδ᾽ ἐν δεσμοῖς πεπεδημένος ἀργαλέοισιν.

## ΤΑ ΤΟΥ ΝΟΜΟΥ ΚΑΙ ΕΥΑΓ- γελίου καὶ χριστιανισμοῦ.

## Es ist das Heyl vns kommen her/ ꝛc.

Continet discrimen Legis & Euangelij & partes Christianismi, fidem, dilectionem, patiētiam in cruce.

Ἦλθε βροτοῖς μακαρισμὸς ἁμαρτινόοισι βιαρκής,
ἐκ θεοδωρήτου χάριτός τε, καὶ ἡμερότητος,
ἔργα γὰρ ἀχρήστῳ μερόπων τετελεσμένα μόχθῳ.
οὐ δύναντ᾽ στυγεροῦ ἀπ᾽ ὀλέθρου ἄνδρα σαῶσαι,
πίστις ἐχέζωος πρὸς Ἰησοῦν μοῦνον ὁρᾶται,
ὅσπερ ὑπὲρ πάντων τὰ τελεστέα πάντα τέλεσσεν.
καὶ μεσίτης βιόδωρος ἐπήλυθεν ἄφρονα κόσμον.
Εἰρξικάκῳ θεὸς ὅσσα νόμῳ διετάξατο κόσμῳ,
εὗτε μὲν οὐ κραίνειν κάρτος πάρα γηγενέεσσιν.
ὀργῆς ἠδὲ κακοῦ ἀνεφαίνετο οὐλομένη φλὸξ
πασσυδίη ποινῆτις, ἀπὸ πατρὸς ὑψιμέδοντος.
πνεῦμα κακωσιάνειραν ἐνοίκεε σάρκα θεουδές.
οὐδ᾽ αὐτῆς ἐνθάδι λαθὼν θέλεν ἐξαναλῦσαι,
θεσμὸς ὅτ᾽ ἐγρεσίμηνις ἑοῖς ποθέεσκεν ἀπειλαῖς
πᾶσιν ἀτυζήλοιο παραὶ τότε κείμεθ᾽ ὀλέθρου.
Δόξα βροτῶν πολύλοξος ἐνὶ φρεσὶν αἰωρεῖτο,
ὅττι δύνη παθέεσσιν νόμον φήνειε βροτοῖσιν
κοσμουμένων, ὅππως καθαρὸν προστάγμασι κείνου
σύμφωνον διάγωμεν ἀεὶ βίον ἤθεσι σεμνοῖς

ἀλλὰ

ἀλλὰ διαυγὲς ἔσοπτρον ἔφυ μόνον, ὅ, τι τέτυκται
μαρτυρίη καὶ ἔλεγχος ἁμαρτάδος οἰτοφόροιο,
σαρκὸς ἀγαλλομένης εἰν ἔργμασιν ἰλυοέσσης.

Οὐκ οἷον δὲ βροτοῖσιν ἔην, φύσιν ἀμπλακοεργὸν
σαρκὸς ἀπερξέψαι κακοεργέος, αὐτοτελέσσοις
μήχεσι, πολλάκι καὶ πρὸ ἐελδομένοις ἐνὶ θυμῷ,
παμφόρος ἀλλὰ χρεὰς μεγ᾽ ἀέξετο ἀμπλακιάων,
ἔργων ὑποκριτέοισι ἐπεὶ ἀΐδῃ προΐαπτει
ὑψιμέδων, καὶ σαρκὶ κακόφρονι συμφυὲς αἶσχος
ἐξ ἀρχῆς πέλεται λώβης κακὸν ἀλγεσιδώρου.

Χρὴ ἔμπης θεσμὸν πληρωσέμεν αἰθερόγραπτον
εἰ γὰρ μὴ τοῦτο γένοιτο βροτοὶ φθινύθειεν ἅπαντες
τούνεκεν ὑψιμέδων ἐς ἀλιτρογενέθλον ἔπεμψεν
υἱέα ὃν κόσμον βροτοειδέα σάρκ᾽ ἀναδύντα,
πληρώσαντά τε θεσμὸν ἅπαντα, καὶ οὐ γενετῆρος
οὐλομένην σβέσαντα χολὴν στυγερ᾽ ἄλγεα πᾶσιν
τίκτουσαν μερόπεσσιν, καὶ ἐγρεσίθρωνον ὄλεθρον.

Αὐτὰρ ἐπεὶ πρόσταγμα πεπλήρωται θεοδείκτου
θεσμοῦ, τὸν διὰ κάρτος ὅτῳ πάρα πάντα τελέσσαι
χριστοσεβὴς τότε τις βροτὸς ἐν πραπίδεσσι νοήσοι
πίστεως ζωοδότειραν ἐνέργειαν θεοειδοῦς.
κοίρανε λυτρωτὰ βροτέης μετάτιμε γενέθλης,
σὸς θάνατος μακαρισμὸς ἐμοὶ ζωή τε μακαίρα,
λύτρον ἀλεξίμορόν συ τεῷ γεννήτορι δῶκας.

Τούνεκεν οὐ δοίῃ ἐνὶ ἵσταμαι, αἰολόδωρον

ῥῆμα

ῥῆμα γὰρ οὐ κενεῆσι τεὸν φρένας ἐλπίσι θέλγει
μηδὲν ἀπελπίζειν κέλεαι φρενοτερπεῖ μύθῳ,
ὅ, τι κεν οὐκ ἅλιον ἔπος οὐδὲ ψευδές ἐστι.
εἰς ἐμὲ πηξάμενος πίστιν σωσίμβροτον ἀνήρ,
αἰθέρος ὑψιφανοῦς δόμον ἀγλαὸν εἰσαναβήσει
οὐδὲ μόρου ζοφόεντος ὀμίχλῃ ἀμφιπεσεῖται.

Ἡ δὲ δικαιοσύνης ἴσχει κλέος ἄντα θεοῖο,
δεξάμενος πραπίσιν τήνδε βροτὸς ἔμφονι πίστιν
πίστις ἀριστόγενος καθαροῖς ἀκτῖσι φαεινή,
ἔργμασιν εἰν ἀγαθοῖσιν ἔχουσα πόνον κλυτοεργόν.
κοσμάρχῳ πέλεται πεφιλημένη ἀγλαοεργός
πίστις, ὀνησιάνειρα λόχευμα ἢ πίστεος ἁγνῆς
Ανδρ' ἀπάστην θαμινοῖς εὐεργεσίῃσι γεραίρει,
εἰ ἔτεον βλάστημα πέλοι κλυτὸν ὑψιμέδοντος.

Αμπλακίης διὰ θεσμὸν ἐλεγξιάλιτρον ἀνάγκης
γνῶσις ἐνὶ πραπίδεσσιν ἐγείρεται ἀμπλακοεργῶν,
ἠδὲ συνειδήσιν μέγ' ἐλεγχείῃσι πιέζει,
εὖτ' εὐαγγελίου φαιδρωσιάνειρα μερίμνας
εὐνάζει ἐνοπή, καὶ ἐς ἐλπίδα φέρτερον ἕλκει,
θεινομένας ἀλίαστον ἀλιτρονόων φρένας ἀνδρῶν,
σταυρῷ κεκλομένη ὑποκύπτειν αὐχένα πικρῷ,
οὐ γὰρ πανσωλή τις ἐνὶ κακοπλήκτει θεσμῷ
ἔργμασιν οὐδ' ἐνὶ πᾶσι τελεσσέμεν ὅσσα κελεύει.

Εργα γὰρ ἐκτεροφέει πίστεως μακαρισμοδότειρας,
εἰ γὰρ μὴ πίστις πέλε γνήσιος, οὐδ' ἐν ἀρέσκει

ἔργα

ἔργα θεοῦ πραπίδεσσι σοφῶν τε τελέσμενα μόχθῳ,
πίστις ἐρασσὶ χριστὸς ἐπεὶ μόνον ἄνδρα δικαιοῖ.
ἔργα δὲ χρηΐζουσιν ἀποδρήσσειν μερόπεσσιν,
καὶ πίστεως ζαθέης δῆλον μήνυμα τέτυκται.

Προσδοκάα πίστις στερεῇ φρενὶ χριστοδοκοῦσα,
ὅσσα θεοῦ πολύδωρον ὑπέστη ῥῆμα βροτοῖσιν.
εὖτε δὲ προρρηθέντα θέλει τάδε πάντα τελεῖσθαι,
οὐ χρόνον ὑψιμέδων περαθεῖ ἦν ἀναμφήριστον,
ἀλλ' ὁπόταν πραπίδεσσιν ἐφὴν δάνεν ἐστὶ τελεῖσθαι,
οὐδέ τινι δολόεντα βροτῶν φρένας ἠπεροπεύει
μήχει, τῷ ἐπέοικεν ἑοῖς ἐπέεσσι πιθέσθαι.

Καὶ πρός τοι ἀνάνυστα φανοῖ, μὴ τοῦτο ταράσσοι
σὰς φρένας, ἐλπωρῆς τε τεῆς ἀπὸ τῆλε βάλοιο.
ἧχι μάλιστα γὰρ ἐστὶ πανίλαος ἠδὲ προσηνής,
ἔνθα προσηνείη σφετέρη ἀΐδηλος ὄρωρεν
ἀνδράσιν, ἐλπερῇ καὶ οὐκ ἀναφαίνετ' ἀρωγῆς,
ῥήματος ἀμβροσίου σφετέρου ἐτυμηγόρος ὀμφὴ
σεῖο παρηγορέοιτε φρένας, καὶ μᾶλλον ἐρείδοι,
Ἀντίμαχος καὶ πρὸς κραδίη ἀλίαστον ἐνικλᾶ,
μὴ μικροφροσύνῃσιν ἀνελπιστοισιν ἐρέχθοις
θυμὸν ἀνιηθεὶς, ἀλλὰ θρασὺν ἐλπίδα βόσκοις.

Ἀφθιτότιμον ἑοῖ κῦδος καὶ ἀπόκλυτος αἶνος
Ἀντ' εὐεργεσιέων εἰν ἄσμασιν ἡμετέροισιν,
ξυνῇ τῇ ἦει θεῷ καὶ υἱεῖ σὺν ἔμφρονι πνοιῇ
ὃς χείλεσι ῥαθάμιγγας ἐνιστάλαοι πραπίδεσσιν

ἡμετέρῃ

ἡμετέρῃσιν ἐῆς, καὶ ἀνύσσοι ὤνκεν ἐν ἡμῖν,
ἤξρατο ἧς ζαθέης μεγαλοπρεπίης πρότι κῦδος
ὄφρα κεν εὐαγέως ἑὸν οὔνομα σεμνὸν ἔχοιτο.
Ἡ καὶ ἀνακτορίη μεγαλυμήεσσα μετέλθοι,
ὃν βούλημα γένοιτο καὶ ἐν χθονὶ, ὥς ἐν ὀλύμπῳ.
ἄρτον καὶ ἡμῖν ἐπιούσιον ἐγγυαλίζοι.
μειλιχίην φαίνοι καὶ ἡμετέρῃσιν ὀφειλαῖς,
οἷον ὀφειλόντεσσιν καὶ ἔρδομεν ἀνδράσιν ἄμμιν.
μηδ' ἐνὶ πειρασμῷ ἡμᾶς θυμαλγέϊ λείπεις,
ἀλλὰ συνπαθίην ἡμῶν ἀπ' ἀτρόπυον ἄμμον.

## ΤΑ ΤΟΥ ΧΡΙΣΤΙΑ-
## νισμοῦ.

## Ich Ruff zu dir Herr Jesu Christ/ ꝛc.

De partibus Christianismi agit.

Ἡμετέραις σελίσαις ἐπικέκλομαι ἄμβροτε Χριστὲ,
κλῦθί μευ εὐχομένου, μινυρῇτ' ἐνοπῇσι καλευν-
νῦντ' ἀπαλεξίκακόν μοι στὴν χάριν ἐγγυάλιξον, (προς.
ὄφρα μὴ ἐγκύρσω πανανελπίστοις ἀπρείαις,
δὸς μοι ἵν' ἁγνότερον βιοτὴν σοι ἑαδότα ἕλκω,
ἀνέρα τε κομιδῆς ὀνέω χατέοντα πενιχρὸν
ῥήματέ σὸν πραπίδεσσιν ἀεὶ καθαρῇσι σέβωμαι.
Αὖθις ἀγαθονέτα σε καλῶ εὐχῇσιν ἐμῇσιν,
ῥεῖα σὺ γὰρ δύνασαι ὀρέγειν μοι ἄφθονα πάντα,
ὄφρα μὴ αἰσχυνθῶ κρατερὴν μοι ἐλπίδα δοίης,

κόσμον

κόσμον ὅταν δὲ μάλιστα θανὼν τὸν δ᾽ ἐγκαταλείπω,
ὄφρα κεν ἐλπωρὴν ἀστεμφέα εἰς σὲ βάλοιμι.
οὐδὲν σὺ ἡμετέροις ζητήσεις ἔργμασιν ἄλκαρ
μὴ κραδίην ἀκαχῇ ποτ᾽ ἐμὴν μετάνοια διακέφων.
Δός μοι ὅπως περὶ κῆρι ἐμοὶ στυγερὰ φονέουσι
δυσμενέεσσι κακοπραγίην ξύμπασαν ἀφείω.
δυσμενέοις ἤδη καὶ ἐμοὶ βεβαρηότι λώβαις.
καὶ σύ ἐμοι βίοτον καθαρὸν καὶ ἁγνὸν ἐγείροις.
ἡμετέρην ψυχὴν βόσκε ζωαρκεῖ σίτῳ
ῥήματος ἀμβροσίοιο τεοῦ, κρατερόφρονι θυμῷ
ὄφρα κεν ἀντιόω μοι ἐπερχομένοισι δύῃσι,
μὴ ἐμ᾽ συνειλήσειαν ἐν ὀρσικάκοισι ταραγμοῖς.
Μὴ τρόμος ἀργαλέος, μὴ τέρψις θελξιάνειρα
σοῦ ἄπο τῆλε τρέπῃ με, τελεσικάκῳ ἐνὶ κόσμῳ,
μέχρι τέλους βιότου πυμάτου. στερεόφρονι θυμῷ
ἐμμενέω σοι, πάντα τεῆς ἐνὶ χείρεσι κεῖται,
προοίκιον αὐτὸς ἔχει ὅσον κεν πάτερ ἐγγυαλίζεις.
οὔτις ἔχει θνητὸς ζαθέοιο κιχήσεμεν ἀνὴρ
κληρονομεῖν τε τεῆς χάριτος, πραγέεσσιν ἀμώμοις,
ἥν κεν ἁμαρτανόοισι βροτοῖς ἀπ᾽ ὄλεθρον ἀμύνει.
Ἐν κρυεροῖο μόθου κεῖμαι βιαροῖσι κυδοιμοῖς,
Χριστέ σοι ἀδρανέοντι θοὸς φέρε μείλιχον ἄλκαρ,
ἐκ γὰρ τεῆς χάριτος κρέμαμαι σωσήνορος οἶος,
τύνη ἔχεις κρατερῇ με τεῇ στηρίξεμεν ἀλκῇ,
εὖτε δὲ μοι πειρασμοὶ ἐπιστείχουσι φεναλγεῖς,

Θ κοίρανε

κοίρανε σὺ κρατερῶς ἐπάγοις αὐτίου τῶν ὁρμήν,
μὴ με κυλίνδωσιν στυγερὴν πρηνηδὸν ἐς ἄτην,
μέτρον ἐπεὶ σὺ φέρειν δύνασαι, μὴ ἀλγεσίδωρον
κίνδυνον ἡμετέροις τε κακὸν κεφαλῆσιν ἐπόρσῃς·
οἶδα γὰρ οὐ με κακοῖσιν ἐνὶ στυγεροῖσιν ἐάσεις.

## ΤΑ ΤΗΣ ΠΙΣΤΕΩΣ.

## Wir sind der Heyligen Kinder/ rc.

Fidē prædicat primam Christianismi partem.

Υἱέες εὐαγέων πελόμεσθα θεόφονες ἀνδρῶν,
ἡμέτερος γενετὴρ δὲ θεός, καὶ χριστὸς ἀδελφός
ἀϊδίοιο φίλοι τε θεουδέες ἐσμὲν ἀνήτεω,
ἣ γένεσις καύχησιν ἐνὶ στήθεσσιν ὀφείλει
ἡμετέροις, μακαρισμὸν ἐπεὶ προτὶ καλλιδίαιτων
νεωστιβίοις τοκεῦσι λοχευόμεθα, χρήσιμον ἔργον
πρὶν τελεῖν βροτὸν ἄνδρα, παλιμπλάστης γενέσθαι
παγγενέτης προφθὰς θεοείκελον ἄνδρα τίθησιν.
Γηθόσυνοι κραδίην τὸν κλῆρον προσδοκόωμεν
χρυσείῳ ἐδάφῳ ἐν ὀλύμπου ὑψικρεμάστου,
καὶ νῦν ἀγχιφανὴς τέταται ἡμῖν, ἵνα πάντες
τὸν διαμοιρώμεθα μερίσμασιν ἰσοπαλέεσσιν,
ἀλλά γε μὴν ἵν᾽ ἕκαστος ὅλον φιλόχριστος ἔλοιτο,
σύν τε θεανθρώπῳ τῷ χριστῷ ἐμβασιλεύοι.
οὗτος ἔφυ τοι κλῆρος ἐτήτυμος, ἀφθιτόδωρος.
Τοῖος κληρονόμοις μακαρισμοβίοισι θεοῖο

ἐξ ἀρχῆς

ἐξ ἀρχῆς κεῖται εἰν αἰθερίοισι μελάθροις
προυειαθεὶς, ὃν χριστὸς ἑῷ ἐκτήσατο πότμῳ,
ἐκταδὸν ἐν σταυρῷ ὁπότε κρυόεντι κρέμασθεν,
τοῦτο σοὶ ὑψιγένεθλος ὁ πάζει ποικίλον ἀρχός
ὅ, τι κε λυσιπόνος τοι ἔχει χριστὸς καὶ ἔοργεν,
ὄφρα κεν σὺ πάντεσσιν ἔχοις θρασύτητα κακοῖσι
τῶν πίσυνος στερρῆς ἰδίῳ φρεσὶν οἷά τε κλήρῳ.

Νῦν μούνη πίστις πειθαρσὴς θειοφορήτου
δράττεται ἧς παλάμης δωρήματος, ἐν βιοτεύεις
συγκλήτῳ ζαθέῳ, χάριν ᾧ θεὸς ἡσυχίην τε
φαιδρόβιον, καὶ ὄλβον ἀθέσφατον ἐγγυαλίζει,
τοὔνεκεν οὐ πείθοιτο τεόν τις σῇ φρεσὶ θυμόν,
οὐ γενέτην ἔμμεναι τεὸν ὑψιθόωκον ἄνακτα,
καὶ μᾶλλον νεάτων ἐκ στηθέων αἷμα κεδάσσαι
σῶν τλήσοις οἰκτρῶς δεδαϊγμένος ἀλγινόεντα
ζωὴν γοῦν μετὰ πότμον ἐλεύθερος ἄφθορον ἕξεις.

ΤΑ ΤΗΣ ΠΙΣΤΕΩΣ
ἔχει.
## Allein nach dir Herr Jesu Christ/ rc.

Σοὶ μόνον ἱκάνει φρὴν ἡμετέρη φίλε χριστέ
εἰς ὅ κε μοι κραδίη ζωουργῷ βόσκετ' ἀϋτμῇ,
ἔργμασιν ἐν κόσμου καὶ ὀϊζύϊ πουλυβοτῆρος.
εἰς σὲ μόνον σωτῆρ' πείθομαι στερραῖς φρεσὶν ἁγνέ

Fidē prædicat primam Christianismi partem.

πάμπαν ἐνοικήσειν ἐμὲ οὐρανὸν ἄκρον ἐέλπωσ,
ὃν μοι ἀκεσιμόρου ἐκ τήσεο αἵματος ὄμβρῳ,
οἰκτρὸν ἀπεπνείων ἐν σταυροῦ ἱδρόεντος
πρέμνοισιν βιοτὸν μοι πουλυπόθητον ὄρεξας,
ἄμνε θεοῦ σοφὲ χριστὲ, φάος κόσμοιο καὶ ἐλπὶς
κέκλυθι μου στοναχεῦντος ἰδ' εὐχωλῆς σε καλεῦντος
βυσσόθεν ἐκ κραδίης, ποτὶ οὐρανὸν ὄμματα πέμπω.
σεῖο παρηγορέοις ἐμὲ πνεύματι κοίρανε κόσμου,
σὴν χέρα μοι ὀπάσοις ἐν ἐμοῖς ἀλκτειραν ἀνάγκαις
κόσμον ὅταν βιότου ἀπονοσφισθεὶς ἀπολείπω,
ῥύεο ἡμετέρην ψυχὴν παλάμῃσι τεῇσιν,
ἐν βιοτῇ γὰρ καὶ θανάτῳ σοι ἐμαυτὸν ἔδωκα
ἡμετέρην ψυχὴν σοῖς χείρεσιν ἐγκατάνασσον.

## ΤΑ ΤΗΣ ΠΙΣΤΕΩΣ ἔχει.

## Von Gott wil ich nicht lassen/ ꝛc.

Fidem celebrat primam Christianismi partem.

Οὐκ ἐμὸν ὑψιμέδοντος ἀπόσχετο πότε θυμὸν,
ἡμετέρην βιοτὴν γὰρ ἀμύντωρ οὐκ ἀπολείπει,
καὶ εἰν ἀτραπιτοῖσι ποδηγὸς ἄγει με πρὸ πάσαις,
ᾗσιν ἐνὶ πλάγχθην ἀσκεικέσσι πόδεσσιν,
καὶ χέρα χραισμήτειραν ἐμοὶ εὔθυμος ὀπάζει,
ὄρθρου φαινομένου, καὶ ἑσπερίνοισιν ἐν ὥραις,
ὑψόθεν εἰς βιοτὴν ὁ γὰρ ἵλαος ὄμματα βάλλει

χῶρον

χῶρον ἐπιστείβοντας ἅπαντα πόδεσσιν ἀρούρης.
Ὁππότ᾽ ἀμαυροβίων μερόπων ταλακάρδιον ἔθ-
οὔτιν᾽ ἔχει μογερῆς εὑρεῖν κακότητος ἀρωγήν, (νος.
ὑψόθεν ἐσσυμένως μετακαρτὴς φαίνεται ἄρχος
ἐγγὺς ἄγων σφετέρην δύναμιν καὶ ἀπρόσμαχον ἀλ-
ἡμείων ἀπὸ πῆμα φρεναλγὲς ἀρωγὸς ἀμύνων, (κὴν.
αἴσχεος ἐξερύσας καὶ ἁμαρτάδος ἀνδρολετείρας,
χαλκοπαγέων τε πεδέων ἠδ᾽ εἱρκτέων ἀλγεσιθύμων,
ἠδὲ δυσηλεγέος θανάτου ζοφόεντος ἀβύσσου.
Θάρσυνον οἱ μούνῳ ἀστεμφέα θυμὸν ἀέξων
ἐν κρυερῆς δίνοισι καταΐκεσιν ἀνάγκης,
εἰ δ᾽ οὖν ἐκτελέσω, οὐ κὴρ μετάνοια κιχήσει
ἡμέτερον, κραδίης νεφέλην ἀπὸ πένθεος ὤθει
στρευγομένης, μελέτω πάντα σφετέρῳ τάδε θυμῷ
σῶμά τε καὶ ψυχὴ καὶ ζωὴ πάντα χέρεσσιν
ἐν μεγαδυναμένου κεῖται σθεναρῇσι θεοῖο,
ὃς μεθέπει ὥσπερ δοκέει οἱ ἔμμεν ἄριστα. (λοις,
Οὐδὲν ἑοῖς πραπίδεσσιν ἐφήνδανεν αἰολοβού-
ἡμετέρῃ ψυχῇ οὐ χρήσιμον ὅ, τι τέτυκται,
μειλιχίην χαρίεσσαν ἐπεὶ ἐς ἅπαντα κομίζει
φῦλα χαμαιγενέων, σωσίμβροτον ἄμμιν Ἰησοῦν
μουνογενῆ υἷα χαρίζεται, ἀγλαὸν ἔρνος,
ὅν ῥα διὰ, ξύμπασιν ἀεὶ ῥυσὸν ἐγγυαλίζει,
σῶμα βροτῶν ἀλαπαδνὸν ἰδὲ ψυχὴν θεοειδῆ
ὅσσα τρέφει, οἱ αἶνον ἀείδετε σώφοσιν ὕμνοις.

γλώσσῃ καὶ κραδίῃ οἱ ἡδὺν ἀοιδῆ τε μολπήν,
ἐξ αὐτοῦ δῶρον τόδε γ' οὐ θνητοῖσιν ἱκάνει.
ὄλβιον ἦμαρ ἐκεῖνο, πανόλβιος ἔπλετο ὥρα
ὑμνήσασθαι θεοῦ μεγάλου κλέος ἀμφιβόητον,
ἀλλὰ διὰ ἤματα πάντα παρίπταται ὠκέϊ νύσσα,
ἄχρηστα θνητοῖσι παρερχόμεν' ἀλφηστῇσιν,
ἡδύβιον μακαρισμὸν ἐρευνᾶν φροντίδι πυκνῇ,
καὶ βίον οὐ λήγοντα πέλει θέμις ἀνθρώποισιν.

Εὖ τέ τε καλλιφανοῦς φθινύθει δωμήματα κόσμου,
σὺν μεγαλωσύνῃ ὑπεραυχεῖ, καὶ κλέεϊ ᾧ,
οὐ κῦδος περίφαντον, ἀγήνορος οὐ κτέαρ ὄλβου.
ἄνδρας ὀνήσειεν, καὶ ἃ νῦν μετατίμια θνητοῖς:
Ἐ πικρὴν μετὰ γεῦσιν ἀμβροσιβίου θανάτοιο,
ῥωχμοῖσιν ζοφεροῖς ἐνιταρχυθέντες ἀρούρης,
εἰς φῶς καινόβιον μετὰ δούλιχον ὕπνον ἐγέρσει.

Ψυχὴ μὲν προρόεσσα θεοῦ μέρος οὐκ ἀπολεῖται,
κόλπον ἀεξίβιον τ' εἰς Ἀβραάμοιο φορεῖται,
καὶ καινωσιβίοισι δέμας τοκεῦσι νεοῦται,
ἀμπλακίης πινόεντος ἄτερ κεκαθαρμένον οἴτου,
ἄχραντον, νηλιτές, ἀειθαλές, ἡλιόμορφον,
κληρονόμος μεδέοντος ἀειζώοιο θεουδής,
ὅ, τί κεν οὐ κλονέειν δύναται κακὰ μυειοβούλου
μήχεα διαβόλου μερόπων δηλήτορος ἀνδρῶν.

Καίπερ ἐνὶ κόσμῳ ταλακάρδιος ἄλγεα τλῆμι,
πολλὰ κακοῦ βιότου ἐνὶ ναυτιλίῃ ἀλεγεινῇ,

μισθὸν

μισθὸν ἔχων λώβης ἀντάξιον αἰσχροπόνοιο,
δυστυχίης μετὰ λαῖτμα φανεῖ αἰώνιον ἦμαρ,
τῶν πολλῶν τε πλέον, καὶ ἀμβροσίοιο διαίτης,
ἐς χρόνον οὐ λήγοντα τέλους ἀπάνευθε βρυούσης.
χριστὸν ἐπεὶ ἐδάην βροτέης ἀμπαύστορα λώβης,
αἰθέρος ἐν δαπέδῳ αὐτῆς χρυσέῳ ἀπλαύστῳ,
Τοῦτο θέλημα πέλει γὰρ ἀμωμήτοιο τοκῆος,
ὃς κτίσεν ἀνθρώπους σφέτερον κλέος αἶαν ἔχοντας.
ναίων πάτριον οἶκον ἑὸς γόνος ὑψιγένεθλος
ἄφθονον ἡμερίοισι χάριν γ' ἐκτήσατο πότμῳ,
πνεῦμα δὲ θεσπέσιον, μεγαλοσθενὲς, αὐτόματον φῶς,
ἡμετέρην κραδίην ἰθύνει πίστει σεμνῇ,
ἔστε καλὸν κατάγει νηὸν θεοδέγμονος αὐλῆς,
τούτῳ δόξα πέλοι, τιμή τε, καὶ ἄσπετος αἶνος.

## ΤΑ ΤΗΣ ΥΠΟΜΟΝΗΣ.

## Wie es Gott gefellt / so gefellt mirs auch / ꝛc.

Οἷα κεν ὑψιμέδοντος ἔφυ φίλον ἔμφονι θυμῷ,
οὕτως καὶ πραπίδεσσιν ἐφανδάνει ἡμετέρῃσιν,
οὐδὲ μεταστρέπομαι τῶν, ἐν φρεσὶν ὅσσα κλονεῖ με,
καίπερ ἐγερσιφαέων ποτέ μοι στροφάλιγγες ὀπωπῶν,
κάπνου αἰθαλόεντος ἀμέρδουσιν γλυκὺ φέγγος.
καίπερ ἀλυκτοπέδῃσιν ἐνισχεῖν φθοῖτο πρόπαντα,
ὅσσα μοι ἐν παλάμῃς κεῖται, τὸ καὶ ἀτρεκὲς οἶδα,

De patientia in cruce agit tertia Christianismi parte.

κοσμομέδων τάδε πάντα ἑῆς βουλῆσιν ἀμώμοις
ἰθυνέει, καὶ εἰς ἀγαθὸν πάλιν εὐτυχὲς ἄξει.
ὥσπερ ἐῷ θυμῷ δοκέει καλὸν ὧδε γενέσθω,
ᾧ αὐτῷ πείθοιμι δολοφροσύνης ἀπάνευθεν.
Ὅ,ττι θεοῦ πραπίδεσσι φιλοστόργοισιν ἀρέσκει,
οὐ τόδε φραδμοσύνης ἀπαναίνομαι αὖτι πάλοισιν.
ἄλλα δ' ἐπιτρέψω ταχυκινυμένοισιν ἀήταις.
ὅσσα μὲν οὐ θέμις ἐστὶ γενέσθαι, ἢ τάδ' ἑκάστῳ
βουλήσει, δοκιμῆ μαιμᾷ λειξίφρονι θυμὸν
ὑββάλλειν ἐμόν, εἰ καὶ ἐγὼν τόδε βούλομαι ἔργον.
ἣν χάριν ἠμβρόδωρον ἐμοὶ ῥυδὸν ἐγγυαλίζει,
οὔ πει, οὐ δίῃ μοὶ ἐνὶ φρεσὶν αἰωρεῖται.
οὐ τάδε γίγνεσθαι χρειώ, γίγνοιτο, φραδῆσιν
οὐ γὰρ ἔχει τις ἀνὴρ θνητὸς ζαθέῃσιν ἐνικλᾶν.
Ὅττι θεῷ μεγάλῳ φίλον, οὐ τόδ' ἀπεχθὲς ἐμοί-
ἔργοις οὐ πάντεσσιν, ἅμοι ἐνὶ χείρεσι κεῖται. (γε.
ὅ, ττι θεὸς προόεισεν ἐῇ παναμεμφεῖ βουλῇ,
τίς νυ κεν ἀλλύειν δύναται τὸ μετὰ τρόπον ἀνήρ,
τούνεκεν ἄχρηστα καὶ ἀνωφελῆ εἰς κενὸν ἔρρει.
κλῆρος ἀβροσινόου πλούτου μέγας, αἰολόμητις
τέχνη, καὶ σύνεσις πανδίων εὑρέτις ἔργων,
οὐ τείχας ἐκτίλλειν τοι φύματα ἐγκεφάλοιο,
εἰσαγαγεῖν δύναται ὀδυνέων στοναχηφόρον ἄτην,
καὶ πρὸς γογγυσμοῖς ἀντίασπος αἰνοκόροισιν
θήγοις ὀξὺν ὀδόντα, πόνον κενοεργὸν ἀνύσεις,

κραίνοιτο

κραίνοιτο ξύμπαν, ὅ, τι περ μέλλει τελέεσθαι,
ἥντο γὰρ ἀτρέπτως χρεὼ ἀταρπιτὸν ἰθὺν ὀρούειν.
πανδυνάτου κατὰ νεῦμα θεοῦ πόθον ἡγεμονεύσω
ἡμέτερον, σφετέρῃσι με φραδμοσύνῃσιν ὀπάσσω.
βουλῇσιν σφετέρῃσιν ἐειδμαίνων ζαθέῃσιν,
αἴχεσιν ἐν στυγεροῖσι πεπηγμένος ἄλγεα πείσω,
αὐτὸς ἐπεὶ μεδέων ἀκρόθρονος αἰθέρι ναίων,
πᾶσαν ἐφημερίοισι διαμοιρήσατο νύσσαν
ἤματος, ἠδὲ κυκλωδὸν ἑλισσομένου ἐνιαυτοῦ,
ἧσι τιτυσκόμενος στυγερὸν πραπίδεσσι καὶ ἐσθλόν.
τοὔνεχ' ὑποκλινέω καὶ ἐμὸν βουλήματι θείῳ
θυμὸν προφρονέως, εἰ γὰρ πεπρωμένον ἐστί,
ἀσπασίως δέχομαι τόδε ἐθέλοντι φρένεσσιν.
Ὥσπερ ἀειζώῳ ἐπικράτωρ ὑψιμέδοντι,
ἐκτελέοιτο κακοῖσιν ἐνὶ καὶ εὐτυχίῃσιν,
οὕτως ἡμετέρου βιότου πλόον ἡγεμονεύσω,
ὄφρα τὰ καὶ τὰ φέρω στερέως ἐθελόφρονι θυμῷ.
τοὔνεκα ταρβοσύνη φρένας οὐ δονέει με φρεναλγής,
ἠὲ τύχη λευκῷ φαίνοι χαρίεσσα προσώπῳ,
ἠὲ μέλαινα κακοῦ στυγεροῦ μοι ἀχλὺν ὀρίνοι,
εἰ τάδε μοιράων γὰρ ἐπείγεται ἐννεσίῃσιν,
καὶ θεὸς ἦν χαίρειν ἄμμιν ἀπάκλυτον ἐγγυαλίξει.
Οἷα φέρει βούλησις ἀμωμήτοιο θεοῖο,
οὕτως δυσμετάβλητον ἑὸν δρόμον ἰθὺς ἐπείγει.
ἄλλων δ' οἰωνοῖσι πολυπλάγκτοισι μεδέσθω,

σήμερον εἰ ῥὰ τύχη πάρα μοι οὐ παμβασίλεια,
αὔριον εἰς μὲ τάχ᾽ ἠλὺμ ἀφίξεται ὄλβον ἄγουσα.
ἀστυφέλικτα θεοῦ ἐνὶ γούνασιν ἐστήρικται
ἡνίκα μοι νὺ τύχην παμμήστωρ αἶσα κυλίνδει,
ἀμβολίην καί περ ποιήσοι ὀψιτέλεστον,
τοὔνεκεν ἀργαλέαις, ἐμὸν οὐδὲν θυμὸν ἀμύξω
μερμηραῖς, γίγνοιτο, τό περ χρεὼ ὧδε γενέσθαι,
ὑψιμέδων μὲν ἐμοὶ, ὅ, τι οἱ φίλον ἐστὶν ὀπάσσει.
Οἷα θεοῦ πραπίδεσσι φίλον καὶ ἡδὺ τέτυκται,
τοῖο παρὲξ οὐ φὴν μαιμᾷ ἐμὴ, ὑψιμέδων γὰρ
ἡμετέροις ἔργοισι πέρας προὔειασεν ἄφυκτον,
ὅ, τι ῥα δυσκίνη ἀεὶ καὶ ἀκαμπὲς ὄφωρεν,
εἴως ἠελίου πυριφεγγέα κύκλον ὁρῶμαι
ψυχοδότεω, βουλῆς ὑποβέβλημαι ζαθέῃσιν.
τοὔνεκα προφρονέως ἐπὶ πυθμένα οἰκοδομήσω
ἄφθορον, ἀῤῥήκτοντε θεμείλιον, οὐδὲ σιδήρεον
εἰς πέδον, ὅ, τι χρόνος καταμαλδύνει πολυτειρής,
ἐκτελέοιτο πρόπαντα, τὰ δὴ εἰ μαρμαίνα κεῖται,
εἰς θεὸν ἀκλινῆ κτισίμβροτον ἐλπίδ᾽ ἐρείσω.
Οἷα φιλανθρώπιο θεοῦ ἐνὶ μήδεσι κεῖται,
οὕτως καὶ φρεσὶν κεχαρισμένον ἡμετέρῃσιν,
ἐλημοσύνην μοῦνον μοι ἀεξιμέειμνον ὀπάσσοι,
Αὐτὸς ἔχει ἄλκαρ θνητοῖς ἑὸν οἶον ὀρέξαι,
καί περ ἐγερσινόου ἐξωσμένον ἀργαλέοισιν
θυμοβόρου συνοχῆς κεῖμαι νέφεσιν καὶ ἀνάγκης.

ἢ πολυ-

ἢ πολυκωκύτου νεάροις βυσοῖσιν ὀλέθρου,
ἐξερύσει με παλίνζωον δυνάμει μεγακάρτει.
θυμῷ ὑψιμέδοντος ἑαδότα πάντα γένοιτο,
τίς κεν ἐειδμήνειε καὶ ἀγλαὸν ἆθλον ἀροίμην.

## ΤΑ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ καὶ σαρκός.

## Nu höret zu jr Christen Leut/ etc.

De pugna spiritus & carnis in sanctis.

Χριστιάδῃσιν ἅπασι μάχην ἀμέπερθεν ἀείσω,
σαρκὸς ἐχερσιμόθου, καὶ πνεύματος ἰσιθέοιο,
οἷσιν ἐνὶ κόσμῳ τέτακται ἀλίαστον ἄεθλον
ἐμμενὲς ἀλλήλοισιν ἐναντία δηϊόωσιν,
οὐδέ τις ἀντιπάλου μαιμᾶ ἀσύνθος ἐξυπαλύξαι.
Σὰρξ μέν γ' ὑπερφίαλος κομπώδει ἴσκεν ἰωῇ
Ἀρτεμίη ῥεθέεσσιν ἐν ἡμετέρῃσι τέθηλεν,
γυιαρκὴς πολλή τε βίου μοι νύσσα λέλειπται,
πρὶν βιότου χειμῶνα μολεῖν, καὶ λευκάδα χαίταν,
χαρμοσύνῃ βιοτὴν ἐν ἀκηδεῖ νήδυμον ἄξω,
ἁβροβίοις τε τρυφῇσιν ἀεὶ ἐπιτέρψομαι ἦτορ.
Ἴσκε δὲ πνεῦμα φρεσίν, μή σοι τούτοιο μελέσθω,
οὐδὲν ἀλιξολέτιν τρομέεις κείσιν ὑψιμέδοντος,
ἐν πλύνει ζαθέου βαπτίσματος ὅρκον ὄμωσσας,
παντοδυνάτου κατὰ νεῦμα βίον σεμνότροπον ἕλξειν,
οὐδὲ θεορρήτοισι ἐνικλάσειν ἐπέεσσιν.

Ἴσκε

Ἴσχε δὲ σάρξ ἀγέρωχος, ἀκηδέα θυμὸν ἀέξω,
ἡμετέρῃ σὺν ὁμηλικίῃ παρὰ δαιτὶ καὶ οἴνῳ,
ἔνθα νυ φαιδρώσω φρενοτερπεῖ χάρματι θυμὸν,
ἄσμασί τε γλυκεροῖσι χοροστασίαισ τ' ἐρατειναῖς,
ἀλλὰ δὲ κήδεα πάντα θοαὶ φορέοιεν ἄελλαι. (ἀνδρὸς
Μνημοσύνην ἔχε πνεῦμα δ' ἐρεῖ πολυπάμμονος
ὅσσ' ἐνὶ τερπωλῇσι πεσῶν πολυειδέσι κόσμου,
σώματι καὶ ψυχῇ στυγερῷ ἐνίκυρσεν ὀλέθρῳ,
σώματι καὶ ψυχῇ στυγερῷ ἐνίκυρσεν ὀλέθρῳ,
καὶ ἐνὶ ταρχήθη ἐνέρων ζοφεροῖσι μελάθροις,
οἷον ἔπος κόσμῳ σωτὴρ ἀγόρευεν ἀλιτρῷ.
Ἴσχε δὲ σάρξ, τῶν οὔτι μεταστρέπομ' οὐδ' ἀλεγίζω.
ἤματα εἰσέτι συχνὰ φερέχρονος ἥλιος ἄξει,
οἷσιν ἐνὶ βιότοιο κακότροπον ἦθος ἀμείψω,
ἐκ στυγερῆς κακίης τε παλίντροπος ἴχνια κάμψω,
εὖτ' ὀδύναι πυκιναὶ μοὶ ἐνι σκήπτουσιν ἀνίας.
Ἴσχε δὲ πνεῦμά σοι οὐ δύναμις πάρα ταῦτα τελεί-
ἢ ἥβην χαρίεσσαν ἔχεις, ἢ γῆρας ἀβληχρὸν, (ειν.
ὑψιμέδων σε μιῇ στιγμῇ θεὸς οἶδε δαμάζειν,
ὄθρου ἀνυμένου, ἢ βουλυτὸν δὲ κιόντος
ἠελίου, ἀκίχητος ἔφυ σοι ὥρα τελευτῆς.
Ἴσχε δὲ σάρξ οὐ ὀρθρὸν ἔφυ ἢ δείελον ἦμαρ,
ἔμφρονος ἀγλαόκομπον ὁρῶ κόσμοιο γενέθλην,
ἱχανόωσαν ἅπασαν ἀειφρούροις κομιδῇσιν.
ὄλβου καὶ κτεάνων, τὰ πέλει μειλίγματα κόσμου,

ὧν καὶ

ὢν καὶ ἱμείρω εἵως ζωοῖσι μετείω.
Ἴσχε δὲ πνεῦμα, χρόνου πέλεν ἐγγύθι μοιριδίοιο
ὥρα, δέμας ψυχὴ ὁππόταν μετανάστρια λείπει,
τίς φιλοχρημοσύνης κακοκερδέος ἐστὶν ὄνειαρ,
εἰς κονίης πλαδαρῆς μελανειδέα συρφετὸν ἔρρεις
ἐσσὶ μέρος γὰρ τυτθὸν ἀεικελίης κονιορτοῦ.
Ἴσχε δὲ σὰρξ συνοχῆς μοι ἐνισκήπτεις βέλας ὀξύ.
χάρματος ἰχανόω καὶ ἀτερμάντοιο βίοιο,
χριστὸς ἐμοὶ ἀναβάντι θεουδείης κλυτὸν οἶμον.
εὐμενέοι ἵνα θυμὸν ἐπὶ γεννήτορα τρέψω,
ὀξυτέραι ἐρέθουσιν ἐμὲ κατὰ θυμὸν ἀνίαι. (μα,
Παίγνια οὔτ' ἄλλ' ἐλαφρὰ διέρχομαι ἴσχε δὲ πνεῦ-
ὑψιμέδων φιλέει τετρυχωμένον ἄλγεσιν ἦτορ,
σῶμα μόρου ὀδύνῃσιν ἀμορσιβίοιο θανοῦντος,
οἶμον ἐπεὶ βιότης παναώριον εἰσεπέρησεν,
σκωλήκεσσιν ἔδεσμα ποθεινὸν σαρκοβόροισιν. (μου,
Ἴσχε δὲ σὰρξ χθαμαλῇ ἐνοπῇ, φίλε δέσποτα κόσ-
δός μοι ἀποθάλλοντα βίον διὰ χριστὸν ἀμείψαι,
πνεῦμα θεοῦ ἱερὸν μοι ἐνὶ φρεσὶν πίστιν ἄεξε,
σὺ ὅσσα δὸς στερέως μοι τετλάμεν αἶσα κυλίνδει,
ἐλπίσιν ἀϊδίοιο παρηγορέων με βίοιο. (σκ
Νῦν γὰρ παραίφασίς ἐστιν ἀρίστη πνεῦμα πιφαύ-
ἡμετέρη, καί ποτε πεῖρ τοι ἀπὸ φώλιος ἦα.
ὑψιμέδων σὺ μόνος ζάθεος, μόνος ἐσσὶ δίκαιος,
διαβόλοιο πεδέων με παλίγκοτον ἐξανάλυσον,

τούνεκεν

τοὔνεκεν ἄλγεα πολλὰ πάθες υἱὸς σταυροκρέμαστος.
Οὕτως εὐκελάδοιο δρόμου ἀναπαύομ' ἀοιδῆς
δὸς πάτερ ὑψινεφὲς ῥερυπωμένον ἀμπλακίῃσιν,
ὄφρα κε γινώσκωσιν ἑὸν κέαρ ἄνδρες ἀμαυροί,
ἔκ τε κακογραφίης τρέψειεν ἀπειθέα θυμόν,
λυσίπονον ποτὶ χριστόν, ὅπως σφίσιν ἵλαος εἴη,
χαρμοσύνην τε διδῷ ἀθρηνήτοιο διαίτης.

## ΤΑ ΤΗΣ ΛΙΤΑΝΕΙΑΣ.

## Gott Vatter in dem Himmelreich/ ꝛc.

Litania.

ΠΑντοδυνάστα πάτερ, ναέτα στράπτοντος ὀλύμπου,
υἱέ τε παξοπένητε, καὶ αἰθεροφεγγὲς ἄημα,
παμβασίλεια τριάς, καὶ ἑνὰς φύσιν οὐ περίληπτος,
σῇσιν ὑποσχεσίῃσι πεποιθότα θυμὸν ἔχοντες
προπροκυλινδόμενοι σε κικλήσκομεν εὐχωλῇσιν,
κλῦθι σὺ εὐχομένων πετάσας ἀειηκόον οὖας.
Ω γλυκύθυμε θεός, πρηϋφροσύνην ἀναφαίνοις
ἡμῖν, οὐδὲ δίδου ἔργων ἀντάξιον ἆθλον,
οἰκτροσύνην τ' ἔνσταζε χάριν διὰ σὴν εὔθυμον,
σῶμά τε τὸν οἶκον καὶ ἡμῖν ὅσσα τέτυκται
ἐμμενέως βλαβερῆς ἀπὸ ῥύεο μείλιχος ἄτης.
εὐμενέοις ἄμμιν, καὶ ἀλεξήτειραν ἀρωγὴν
πέμπε, καὶ οὐ προλίποις ἡμᾶς ἐνὶ πήμασι λυγροῖς.
Δαίμονος ἡμείων ἀπὸ καὶ δόλον αἰπὺν ἀμύνοις

ὄφρ

ὄφρ' οὐκ εἰς ἀπάγηθι ἡμᾶς κακὸν ἀλγεσίδωρον
πυρσωθέντα βέλεμνα καρήνων τηλόθι στύοις
αὐτοῖ ἡμετέρων ἵνα μὴ βάλοι ἀπευθέλπτους
κοίρανε μὴ ἡμᾶς φίλε μουναδὸν ἐγκαταλείπῃς;
κόσμος ὅταν στενέται πειρασμοφόροισιν ἀνίαις;
ἡμέας, ἐγρεκλόνοισι περιβρεμέθων μανίῃσιν.

Νωλεμέως ἡμῶν ἀποσείσοις δέσποτα σεμνὲ,
δοξομανῆ ὀλετῆρα ἀλημοσύνην βιότοιο,
καὶ λώβην, καὶ αἶσχος, ἀμαρτωσύνην τε φθοναλγῆ,
καὶ μόθον αἱματόεντα, βροτῶν ὀλετῆρα καὶ ἔργων,
καὶ ἐχθροφοσύνην, τε βασκανίης κακὸν ἰὸν,
ἠδὲ κατακλυσμοὺς φλόγμους τ' ὀροφηφάγων ὁρμὴν,
ἐνδείην βιότου τ' ἰδὲ λοιμοῦ ὠκυμόροιο
μάστιγα κρυόεντα, νόσων τε πολὺν στρατὸν αἰνῶν,
ἠδὲ χαλαζήεντα κλυδῶνα, καὶ ὠλεσικάρπους
ἀργαλέου ἀνέμοιο καταιγίδας, οἴδματε λαβρόν.

Ἐν στιβαρῆς ἡμᾶς συνοχῇσι φύλαξον ἀνάγκης
ὄφρα τε μὴ θάνατος σφετέροις βελέεσσι δαμάζοι
ἡμέας ἀπευϊδλῆς οὐκ ἡμέας ἐγκαταλείπεις
ἱσταμένους προπάροιθε θεοῦ μεγάλοιο θρόνου,
ἐν πυματοκρισίης δικασήνορος ἠριγενείῃ,
ὄφρα τε μὴ σκοτίῃσιν ἀλωφήτου θανάτοιο
αἴλινον ἐγκύρσωμεν, ἄνα κλυτὲ ῥύεο πάντας.

Ἐργατίναι ὅλοων αἰτίζομεν ἀμπλακιάων,
ζωοδότα Χριστὲ κρατερώτατε κόσμου,

χραισμῆν

χραισμῆσαι ἡμῖν διὰ σὸν τόκον ἀγλαόδωρον,
σύν τε διὰ ζωηρὸν ἀνάστασιν, ἀμβασίην τε
σόν τ᾽ ἀπερεξίβιον δι᾽ ἀγῶνα, καὶ ἄμβροτον αἷμα,
σταυρόν τε κρυόεντα, καὶ οἴκτου γεῦσιν ὀλέθρου.

Σοῦ λογιοδώμητου καθαρόφονα θρέμματα μάν-
ἡγητῆρ᾽ ὀρθῆσιν ἄγοις εἰν ἀτραπιτοῖσιν, (δρης,
ῥήματος ἀμβροσίου τε τεοῦ ἐν ἀληθεῖ δόξα,
καὶ καθαρῆς βιοτῆς σεμνοπρεπίῃ παναμεμφεῖ,
ὄφρα κε μίμνωσιν φρεσὶν σταθερῆσιν ἅπαντες
ψυχοβότῃ ποίμνης σῆς ἀχράντοιο πρόεδροι.
δὸς τὰ δεδεξαμένοισι τεοῦ σωτήριον ὀμφὴν
ῥήματος ἐγρεβίου, δύναμιν, καὶ πνεῦμα πάναγνον.
ὄφρ᾽ ἀναλδήσκοι καρπὸν πολὺν ἐν κραδίῃσιν.

Ἐργατίνας πιστοὺς καὶ σὸν ἐς ἄμητον ἰάλλοις.
ἡμῶν μισοθέων καὶ συρφετὸν αἱρεσιάων
αἰσχρὸν ἀπεξεπέμεν, ψυχῆς δήλημα θεουδοῦς,
δόγματά τε ψευδῆ, καὶ οὐ θεόλεκτα, καὶ ἀνδρῶν
πᾶσαν ἀλημοσύνην θεοκηρύκων ἀπαλάλκειν
πλαζομένους πάντας διδαχῇ ἐπικάρσιον οἶμον,
Ἀξεκίης εἰς ὀρθὸν ἄγοις ὁδὸν ἀχράντοιο.

Ὀμβριμοκαρτεῖ χειρὶ καταπρήνιξον ἅπαντας,
θέντας ἐγερσιβίου μόθον αἰνὸν ῥήματος ὀμφῇ.
καὶ Ἀσιηγενέων ῥηγηλῷ δηϊάασθαι
Ἀντιβίην τύρκων δυνάμει, ἐχθροῖσι τεοῖσι.
σῶζε τεὴν βασιλῆν, καὶ σύλλογον εὐσεβεόντων,
ἐν κόσμῳ

ἐν κόσμῳ ὀλοῷ νῦν πολλ' ἀνιηρὰ παθόντα,
οὗ σοι λυσιτελὲς καὶ ἀεὶ ἐριτίμιον αἷμα.

Ἡμέτερον τε δέμας σὺν κτῆσιν ἄεξε τεῇσιν
χείρεσιν, καὶ πόλεμον φθισήνορα τῆλε δίωξον,
κραντῆρσιν κλυτοῖς καὶ ἀναξιλέως πολιάρχοις
νωμῷεν κατὰ μοῖραν ὅπως οἰκία λαοῦ
δὸς πάτερ, εἰρήνην τε κουροτρόφον ἀμφαγαπῷεν
καὶ ἔριν ὠλεσίδημον ἀδήειθι ἀλέοιεν.

Καίσαρ εἶτε ῥυτῆρι ἀρηϊθόων Ἀλεμάννων,
εὐτυχίην τε δίδου, καὶ νίκην κυδιάνειραν,
δυσμενέων τε κλάσον σφετέρων λαοφθόρον ἀλκήν
αὐτόν τ' εὐλογίῃ εὐέρδοις πλουθοδοτείρῃ
καὶ πολιέων πασέων βουλευτὰς δημογέροντας,
λαὸν ἐνοικητήν τε τεῇ πάτερ ἀλκὶ φύλαξον.

Χριστοσεβέσιν ἅπασιν ἐνὶ στυγερῇσιν ἀνάγκαις
ἄλκαρ ἀλεξίκακον φορέοις, καὶ ῥύεο τούτους.
τῶν τε παρηγορέειν κραδίην ἀκαχήμενον ἀνδρῶν
οὓς συνοχῆς στείνει θυμαλγέος ὀξὺ βέλεμνον.
Ἄμφεχε σῇς παλάμῃσι πολύπλοινον ὀρφανὸν ἐσ-
πέτε δυηπαθίης μαστιζομένης φρένα κέντρῳ (μὸν
πένθεος, ἐνστάξαις χήρης παραμύθιον αἶνον.

Τέκνα κυϊσκομένας τε, γαλακτοφόρους τε τιθηνάς,
παισί τε νηπιτίοις χραισμήσοις πήματα πάντα.
τειρομένοις νούσοισι καὶ ἀδρανίῃσιν ἅπασιν
ὄφακε παρβάλλωσι δίδου σοι ἐλπίδα πᾶσαν.

καὶ κεν ἀκέσσαιθ᾽ ἡ ψυχὴν σφίσιν οὐ φθινύθουσαν,
οὔτε τελεσσιμόρου ὥρης ξυγκρῆσιν ἀνάγκαις
μειλίξοις θυμὸν τῶν παυσιπόνοισιν ἰάνοις.

Τλημοσύνην καὶ ὅπασσον ἀνεξιμέριμνον ἐκείνοις
θυμοβόροισι κακοῖσιν ἀναίτιοι οἵ κατέχονται,
ὑβρύσοις τε χειρῶν σφέας ἐχθρῶν νηλεοθύμων
δεσμῶν τ᾽ ἀργαλέων, καὶ εἱρκτέων ὀρφνομελάθρων
τούς τε παρηγορέοις ἐνὶ ὥρῃ ποτμοδοτείρῃ
οἵ ῥα βροτοσφακτῆρος ὑπ᾽ ἔντεσιν ἀνδράγχνοιο
λείπουσιν βιοτὴν, καὶ ἀϋτμὴν ζωοβότειραν.

Ημῖν δυσμενέεσσι κακοφονέουσι ἅπασιν
ἀμπλακίην ἄφες ἁγνὲ πάτερ, καὶ ἀεικέα λώβην,
ὄφρα τε συγγνώμην σφίσι καὶ κακότητος ἔχωμεν.
ἄτρεμας εἰρήνῃ τ᾽ ἐνὶ σὺν πᾶσιν διάγωμεν,
ὄφρα κεν ἐκ πάγλων ἐργάστορες ἀμπλακιάων,
λύσσαν ἀπορρίψαντες ἀπειθέα πρὸς σεξέπωσιν
ζωὴν, καὶ πᾶσαν φρένα διὸς πάτερ οὐρανοφοῖτα,
σῆς τε φερεζώου χάριτος γέρας ἱμείρωσι.

Αλδαίνοντα τε καρπὸν ἀνὰ πολυσιτρόφον αἶαν,
πανδώτειρα τεὴ ἡμῖν χεὶρ ἐγγυαλίξῃ,
ὄφρα τε μὴ ἐπάγοι τοῖς δηλήτειρα χάλαζα
ἄτην ὠλεσίκαρπον, ἀπότρεπε πανσθενὲς ἀρχὲ,
σὴν τε χάριν κατὰ μοῖραν ὅπασσον τῶν ἀπολαῦσαι
ὄφρα κε μὴ βαρύθωσι δέμας καὶ ἀναιδέα γάστρην
καὶ ἀπὸ σου τρέψωσι κέαρ, βεβαρηὸς ἐδωδῇ.

χψιθρό-

γῆθρόνυ ἀνέτειλεν Ἰησοῦ ἡγέσι βασι,
ζωοφόρυ χάειτος πηγή, ἡσοσίμβροτε χειςέ,
ἄμνε μεγακλήεντος ἐχέφρον χειςὲ θεοῖο.
ὅσπερ ἁμαρτοσύνης ἔφερεν παμφόνιτος ἄχθος,
παῤῥαρχῶντε κλυτῶν, κὴ ἁγνῆς σπέρμα γυναικός,
σὴν ἐλεημοσύνην νεμέοις ζωεργὸν ἀλίξοις.

## ΠΡΟΣΕΥΧΗ ΜΑΧΟΥΣΑ
τοῖς ἐχθροθεοῖς.

## Erhalt vns Herr bey deinem Wort/ ⁊c.

Δέσποτα καλλιδέμοιο θεὸς δυνατώτατε κόσμυ, — Precatio contra hostes verbi diuini.
νωλεμὲς ἡμετέροισιν ἐν ἤθεσι ῥήμασιν ὀμφὴ
σεῖο, χαμαιεφίεασιν ἐπαγγέλλοιτο βροτοῖσιν,
κὴ μανίαις ὀλοῆσιν ἐνάντια δηϊάασθη,
παππᾶ ψυχολέτεω καὶ τύρκων ἀγριοθύμων,
οἳ τεὸν υἱὶ γενέθλον Ἰησοῦν πάντα, φαεινοῦ
αἰθέρος ἐξ ἑδέων σπελίξαι ἰχανόωσιν.

Χειςὲ βίης κρατερὸν φαίνοις ῥηξήνορος ἔργον,
ὅσπερ ἀνακτείη ὑπὸ ἀῤῥήτῳ βασιλήων
πᾶν καταμαλδύνεις ἴδοι κράτος ἀγλαοκόμπων,
χειςοσεβέων πᾶσαν συνοδὴν ἀπὸ μοῖραν ἀλάλκοις,
ὄφρα κ' ἐπαινήσωσι σὸν οὔνομα πᾶσι σεβαστόν.

Πνεῦμα θεοῦ γλυκόρησι παρηγορίῃσιν ἰαῖνον
θυμὸν ἐφημερίων ἀκαχήμενον ἀμπλακοεργῶν.

χριστοσεβέεσσιν ἅπασιν ὁμόφρονα θυμὸν ὀπάσσον,
ἔν τε τελεσσιμόρου ὥρης συνεχῆσιν ἀνάγκαις
ἡμετέρῃσι φρεσὶν παρέχοις παραμύθιον ἠδὲ
ἔς τε βίον κατάγοις εἰρηνόφιλον καὶ ἄθρωσον
ἐξερύσας θανάτου βυσσώματος ἀλγινόεντος.

## ΠΡΟΣΕΥΧΗ ΩΣΤΕ ΑΠΟΘΑ-νεῖν ἡμᾶς ἐν κυρίῳ.

## Herr Jesu Christ warer Mensch und Gott/ rc.

**Precatio pro placido ac felici vitæ exitu.**

Χριστὲ λυτροσιάλιξε, φαεινοῦ ὄρχαμε κόσμου
ὃς πάθες ἄλγεα πολλά, καὶ ἀλγεσίδωρον ὄνειδος,
καὶ ἐνὶ τετραδόκου σταυροῦ σκολόπεσσι κρεμασθεὶς
οἰκτρὸν ἀπέπτυχες λωβέων τίσιν ἡμετεράων
τίνων, καὶ γενετὴν τεὸν ὑψιμέλαθρον ἄρεσσας.
Ἀργαλέῳ πάθεος σε διὰ πολυαχέος ἀλγέων
ἐν μελέοις κακίαις βεβαρηότι πευκεδανῆσιν
ἦμαρ ὅτ' αὐτήσειε τὸ μύρσινον, εὖτε τελέσσω
παμπύματον θανάτου κρυεροῦ πολύδακρυν ἀγῶνα.
Ὀππότ' ἀμβροσιφαὴς βλέμμα σκότος ἀμφικαλύ-
ουδὲ φιλοφθόγγοις δέξομαί τινα μῦθον ἀκουαῖς, (πρὶν,
γλῶσσά τε μοι γενέτειρα λαλήματος ὀμφήεντος,
οὐ πορίει ἀφάτοιο νοήματος ἀγγελεώτην
μῦθον, ἰδὲ ξυνοχῇσιν ἐμὸν κέαρ ὀξυμανέεσσιν
παφλάζει,

παφλάζει, καὶ δεινὸν ἰάπτεται ἄλγεσι πότμου.
Ὁππότε καὶ φαιδέων θυμὸς ταμιεῖον ἁπάντων,
οὐδὲν ἔχει νοέειν, ἢ ἄκεσμά τι μητιάασθαι,
εὖτε καὶ οὔτινα μῆτιν ἐπίρροθον ἄνδρες ἔχουσιν,
κοίρανε μοι πάρεσθι βοηδρόμος ἀλκὶ κραταιῇ,
καί μοι ἀμβροσιβίῳ ὀδύνας εὔνασον ἐν ὥρῃ.
Ἐκ με δυσπαθέων κατάγοις βυσσώματος αἰνέων,
καὶ θανάτου συνοχὴν μοι ἀμειλιχίοιο βράχνον,
δαίμονας ἀνθρώπων ὀλέτας ἀπ᾽ ἐμοῖο δίωκε, (νου.
πνεῦμά τε μοι σὸν ὄπαζε παρέμμεν ἀκεσσιμέειν.
Εἰσόκεν οὐσοβαρὲς ψυχὴ δέμας ἐγκαταλείπῃ,
ἥν πατρὸς ἀγκαλίδεσσι τεῆς φίλεα ἐγκατάνασσον,
σῶμα δ᾽ ἐνὶ νεάτης πλαδαροῖς ψαμάθοισιν ἀρούρης
ἠρεμέοι, εἵως κοσμορρήκτειρα φαεινοὶ
ἠειγενεῖα βροτοῖσιν ὅλης ναέτῃσιν ἀρούρης.
Δὸς φαιδρωσύνοον μοι ἀνάστασιν, ἐν πυμάτῳ τε
ἴσθι διαλλάκτης μοι ἤματι ἠπιόδωρος,
λησμοσύνης τ᾽ ἐς ἄβυσσον ἀμαρτάδα πᾶσαν ἰάλλοις,
σὴν τε χάριν σεμνὴν διὰ μοι βιότητα διδοίης.
Οἷον ἐμοὶ ἐνοπὴν διὰ ῥήματος ἀγλαοδώρου
ἐκτελέσειν καὶ πᾶσιν ὑπόσχεσες ἡμερίοισιν.
ὅστις ἐμοῦ ἀμὴν ἀμὴν βιοτηφόρον ὀμφὴν
ῥήματος αὐδεῖται, καὶ εἰς ἐμὲ πίστιν ἐρείδει.
Μήτε τ᾽ ἀλιτροδικάσιν ἐλεύσεται ἐς κρίσιν οὗτος,
οὐδὲ βίης θανάτου ποτὲ γεύσεται ἀλγινόεντος.

καὶ ὀλιγοχρονίοιο περ ἐγκύρσας θανάτοιο
δύκτυσιν εὐρυχανέεσιν, τοὶ οὐκ ἐς ἄβυσσον ἀτέρπου
παμπήδην ζοφόεντα καταπρηνίζετ' ὀλέθρου.
Ἀλλά μιν ὀμβριμόχειρ βραχίονι χαλκεοτύκτους
ἐξερύσω θανάτοιο πεδέων, καὶ ἄλγεος αἰνοῦ.
καί νυ καθικήσω ἐς ἀνακτορίην πολύολβον
ἡμετέρην σὺν ἐμοὶ ἵνα καὶ μακάρεσσιν ἐραννοῖς.
Ἐς χρόνον ἀΐδιον ζώοι σὺ ἀκηδεῖ ἤθει,
οὗ ἄνα πανδυνάστα δίδου σύμπασιν ἐπαυρεῖν.
πᾶσαν ὀλεσσιάνειραν ἄφες πάτερ ἄμβροτε λώβην
ἡμῖν, καὶ στερέως ἵνα τληπαθίῃ φερεμόχθῳ,
προσδοκόωμεν ἀεὶ βιότου πέρας εἰκελονείρου,
πίστιν ἀκινήτοισι θεμέθλοις ἐμπεφυυῖαν
νωλεμέως πραπίδεσσιν σὺ ἡμετέρῃσι ὀφέλλοις,
ὄφρα κε σοῖς ἐπέεσσι, πιθώμεθα, εἰσόκεν ἡμᾶς
ἐκλύοι βιότου μογεροῦ πεπρωμένον ἦμαρ.

## ΕΥΛΟΓΙΑ ΤΡΑΠΕΖΗΣ.

### Dich bitten wir deine Kinder/ rc.

Benedictio mensæ.

Ἠπιόθυμε πάτερ ναέτα στεράπτοντος ὀλύμπου,
σὴν χάριν ἡμετέραις ἐπικλείομεν ἠέες εὐχαῖς,
μερμηρὰς μινύθειν βιότητος ἐγερσιμερίμνου
ἡμῖν, καὶ ἄρτον ἐπιούσιον ἐγγυαλίζειν.
Ἡμετέρου βιότου σῶσον πανατήμονα νύσσαν

ὅς ῥά

ὅς ῥά τεὸν γέρας ἐστὶν, ἕως ἂν τόνδε λιπόντες
εἰς ἄλλον χαρίεντα καθικώμεθα καὶ ἡδὺν.
Σὸν γέρας εὐλογέοις ἤδη πανδώρει μύθῳ,
ἡμῖν ἀρτεμίην ἵνα ἀγλαόγυιον ἀέξοι
σώματος, ἀθανάτῳ ψυχῇ ἅμα κάρτος ὀφέλλων
σεῖο σεβασμοσύνης ἐπιβαινέμεν ἀτραπιτοῖσιν
ἐμμενὲς, ἠδ' ἀρετῆς ἀσκῆσαι ἐρασιανείρας
ἔργματα λυσιτελῆ ἐπιδευομένοισιν ἅπασιν.
Σεῖο φιλανθρώπου ἀρετῆς μέγ' ὀνήσιμον ἔργον
δείκνυε, καὶ ἡμῖν χρηστὸν παράβαλλε πρόπασιν,
σίτου δεεῖ λιμῷ κόρεσον κεκμηκότας ἄνδρας,
ἐμπλήσας ἀγαθῶν καὶ ὄλβου ἱμερόεντος,
ὄφρα σὸν ὑμνήσωμεν ἀεὶ κλέος ἄσμασι τερπνοῖς
καὶ σὴν ἡμερότητα προσηνέα γινώσκωμεν,
σοὶ χάριτας τίνοντες ἀεὶ πολυμνήμονι θυμῷ.

## ΕΥΧΑΡΙΣΤΙΑ ΜΕΤΑ τὸν δεῖπνον.

### Herr Gott nun sey gepreyset/ etc.

Παγγενέτην ὕμνοις σε λιγαίνομεν ἡμετέροισιν,
σοὶ λέγομεν χάριτας μεγάλας, γλώσσῃ τε φε- Gratiarū actio post mensam.
ὅττι κεν ἡμέτερον κορέσας ῥυδὸν ἦτορ ἐδωδῇ, (σίν τε,
λωφήσας τε ποτῷ διερῷ πολυκαγκέα δίψαν,
ὄφρ' εὐεργεσίην σὴν φαίνοις ποικιλόδωρον,

καρτύνοις τε νέον πίστεως φλόγα καιομένοιο
ἐν φρεσὶν ἡμετέρης. καὶ σὸν βασιλήϊον εὖχος
καὶ θεότητα τεὴν δηλώσοις δυσπειθέγγραπτον.

Σῖτον ὑπερβολάδην εἰ εἵλομεν ἀνδροβοτῆρα,
γαστρὸς ἀεὶ μάργοισιν ἀδηφαγίῃσι πιθόντες,
ἠδὲ τεὴν ποινῆτιν ἐγείραμεν ἄφρονες ἐχθρὰν,
χρησάμενος χάριτι σῇ ἐνηείῃ γλυκυθύμῳ
κοίρανε πανσθενέτα μερόπων, μὴ εἵνεκα τοῖο
μηνιόων, ἡμᾶς εἰς πήματα λυγρὰ βάλησθα
σὸν διὰ λυτρωτῆρα βροτῶν φίλον υἱέα Χριστόν.

Οὕτως καὶ θρέπτειας ἀπασθενὲς ὄρχαμε κόσμου
νωλεμέως, ψυχήν τε φίλην καὶ σῶμα βρότειον,
σοῖς τρέπτοις ποτὶ Χριστὸν ὅλῃ ῥυστῆρα μενοινῇ,
καὶ χάριτος θαλίῃσι τεῆς νοερῇσι πιαίνοις,
ὄφρ᾽ οὐ ψυχοβόρου τειρείατο ἄλγεσι λιμοῦ,
θόσ τε δυσπαθίην στερεῇ φρενὶ τετλάμεν αἰνήν.
ἠδὲ τρυφῆς βιότητος ἀλήκτου ἐμβιοτεύειν.

## ΠΡΟΣΕΥΧΗ ΕΣΚΕΡΙΝΗ.

## Christe der du bist der helle Tag/ rc.

Precatio ituri cubitum.

Χριστὲ σέλας μερόπων θνητῶν, καὶ παμφαὲς ἦμαρ,
ὅσκεν ἀμαυρότερον διαλάμπεις νυκτὸς ὁμίχλην,
πατρόθεν ἀνθρώποις σελαγίζεαι ἔμφρονι φαύσει,
καὶ φωτὸς κήρυξ φαεσήνορος ἐπὶ πειρίφων.

Κοίρανε

Κοίρανε πανσθενέτα ταύτῃ ἐν νυκτὶ φύλαττε
ἡμέας, ἀντίπαλος πολυμήχανος ὄφρα μὴ ἄτην
εἰς βλασφημίην κατάγῃ ἀμερίμνους, δός τ' ἀπολαῦσαι
ἠρέμα ἡσυχίης αὐξίχρονος, ἀνδροφόνου τε
μήχεα ταρταρόπαιδος ἀλυξέμεναι σατανᾶο.
φάεα καὶ προέχει μέλιτος γλυκερώτερος ὕπνος
παννύχιος, εὐφρούροισι ἐν κομιδῇσιν ἄνυπνος
γρηγορέοι κραδίη, καὶ ὑπέρεχες πανδυνάκτιν
δεξιτερὴν ἡμῖν, ἵνα μὴ πολυαιχέσι λώβαις,
καὶ κωκυτοφόροισιν ἁμαρτάσιν ἀμφιπέσωμεν.
πολλὰ σὲ ἡμετέραις γουνούμεθα χριστὲ προσευχαῖς
κερδοσύνην ἀπάμυνε δολορράφεος σατανᾶο,
ἀρτύνοντος ἀεὶ ψυχαῖς δόλον ἡμετέρῃσιν
ὄφρα κεν οὐδὲν ἔχοι σίντης ἄθεσμος ἄμμε κακῶσαι.
Σοὶ γὰρ ἐπίκτητον κτέαρ ἐσμὲν σεμνὲ λυτρωτὰ,
οὓς δὴ ἐρευθομένου σοῦ αἵματος ἄμβροτον ὄμβρον
ἐκ τῆς σῶ βουλῆσιν ἀειζώου γενετῆρος,
ὁππότε σε θνητοῖσι γέρας δωρήσατο πᾶσιν.
Σῇσι φυλαξιβίοισιν ἐπίτρεπε ἀγγελιώταις,
ἡμέας ἀμφιπένεσθαι εὐφρούροις κομιδῇσιν,
πέμπε φυλακτῆρας χραισμησικάκους, βροτοέχθρου
δαίμονος ἐκφυγέωμεν ὅπως πουλύφθορον ὀργήν.
Οὕτω ἐς οὔνομα σοῦ ἕλομεν γλυκυμείλιχον ὕπ-
αγχιπροβισαμένων θεοπέμπτων ἀγγελιωτέων. (νον
κοσμοκράτειρα τριὰς βασιλήϊον εὖχος ἔχουσα.

πανσθενέτα σε πάτερ γλυκεροῖς ἐπικλείομεν ὕμνοις.

## ΠΡΟΣΕΥΧΗ ΠΡΩΙΝΗ.
## Ich danck dir lieber Herre/ꝛc.

recatio
ıanè sur-
entis.

Σοὶ χάριν οἶδα θεὸς μεγαλοκρατὲς ὄρχαμε κόσμου
ὅττι τεῇ δυνάμει κρατερῇ εὕδοντα φύλαξας,
νὺξ ὅτε γαῖαν ἅπασαν ἀμαυρὴ ἀμφιβεβήκει,
ᾗ τιν' ἔνι, σκοτίῃσιν ἐνὶ ζοφερῇσιν ἐκείμην
ἀμφιπεριπλεχθεὶς, καὶ ἀφάστοισιν ἀνάγκαις,
ὧν δὴ ψυξίκακον λιπερκίνδυνος ἐκποδὼν πέμψα
σεῖο βοηδρομέοντος ἐμοὶ κλυτὲ δέσποτα κόσμου.
Οὔνομα σὸν χαρίτων ὕμνοις λιγυροῖσι σεβάσσω
δέσποτα πλουτοδότα ἐπιειμένε ἔξοχον ἰσχὺν,
αἰθέρος ἐν μεγάροις περικαλλέσιν ὑψιθοάσσον,
ἵλαος ἤμασι τοῖς, τόδε μοι κρήηνον ἐέλδωρ,
ὅ, ττι κεν ἐκτελέσαι ἐπικέκλομαι, ὄμμα τιταίνων
εἰς σὲ, τεῷ θυμῷ καὶ εἰ κεχαρισμένον ἐστὶ,
σοῖς ἀναμαρτήτοισιν ἐμὸν κέαρ ἤθεσι κόσμει
ἡμετέρης κραδίης τε πόθοις λυγροῖσι ἄνικλα.
Οφρα κε δέσποτα θεῖε θεουδείης κλυτὸν οἶμον
οὐ προλίπω, βιότητος ὁδηγητῆρα ποθεινῆς,
δαίμων οὐλοεργὸς ἀτάσθαλα πολλὰ τελείων,
μή με παραπλάζοι, πολυπλάγκτοισι πόδεσσιν
ὄφρα χ' ἀλημοσύναις ἐνικύρσω λειπθέοισιν.

σὴν

σὴν μὲν δ᾽ εὐμενίην περύφονα κοίρανε σῶσον
ὅσσα δολοφροσύνῃ ἀγριοσύνῃ τε κακοῦργος
ἦσιν ἐμοὶ πότμον βαρυαλγέα μηχανάατη
πήμασιν οἰκτροκάκοις μὴ ἐνηλήσοι με καὶ ἄταις.
Σόν τε βροτορρύστειραν ἀναφλογίσειας ἐς υἱὸν
πίστιν ἐνὶ πραπίδεσσιν ἐμῇσιν χριστὸν Ἰησοῦν,
καὶ δηλησιάνειραν ἄφες μοι ἁμαρτάδα ἥδη,
ἡμετερέων εὐχέων ζαθέαις ἀκοῇσιν ἀκούσεις,
οἷα τεοῖς ἐπέεσσι φερεζώοισιν ὑπέστης,
ἀμπλακίης ὅππως φορέοι βαρυαχθέα φόρτον
ἡμετέρης, καὶ αὐτὸν ἐμοῦ ἀκάθεκτον ἀφαιροῖ.
Ἐλπίδα καὶ στιβαρὴν μοι ἐνὶ στήθεσσιν ἔγειρον,
οὐ βυσσοῖς με κακοῖσιν ἐνὶ λείπουσαν ὀλέθρου,
καὶ ἀγάπης ὁρμὴν ἰσοχείστοιο κομίζειν
εἴς με διακεκραδίοισιν ἀτημελέοντα κακοῖσιν.
ὄφρα κεν εὐμενίης οἱ φαίνω πρόφρονος ἔργα.
οὐκ ἰδίοις κραδίην ἀδίκως κέρδεσσιν ἰανθεὶς,
ἀλλά μιν ἶσον ἐμοῖς φιλέω τυχῇ τε καὶ ὅσσοις,
σὴν καταφραδμοσύνην θνητοῖς μερόπεσσι σεβαστήν.
Ῥήματος ἀμβροσίου σου ψυχοβότειραν ἰωὴν
πᾶσιν ἐπαγγέλλοιμι βροτοῖσιν, ἀμεξοκάκοιο
ἐνναέταις κόσμου, ὡς σὸς καλέοιμι διάκτωρ.
οὐ φοβέων δύναμιν, καὶ οὐ γεννήτορα κόμπου
πλοῦτον ἐγερσίκακον, πολυκαμπέα ἄλλοσε θυμὸν
φέγγεος ἀτρεκίης ἀπερξέτω δεξιβίοιο,

οὐδ᾽ ἀπονοσφίζοις ἐμὲ μουναδὸν εἰκελοχρείστων
χριστιαδέων, ζαθέης μετανάστην ἔξοχον αὐλῆς.

Αὐτῆμαρ καὶ σεμνὲ πάτερ στείχοιμι κέλευθον
ὀρθὸν, ὅπως ὄνομα ζάθεον τεὸν εὖχος ἄροιτο
δόσθ᾽ ἵνα μὴ ἑτέρωσε τρέπω πόδα τηλόθι σεῖο,
ἀλλὰ ταχυφθιμένοιο μέχρις βιότοιο τελευτῆς,
ἐλπίδα δυσκίνητον ἔχων σοὶ ἐμπεφυῆαν,
σῶμά τε καὶ ψυχὴν σοῖς περισθενέεσσιν χέρεσσιν
ἄμφεχε, καὶ καρτερὲν πλαθαρῆς θρεπτήνορα γαίης
ἀνθρώποισι φύλαττε χαμαιγενέεσσιν ὄνειαρ.
ὅσσ᾽ ὀπάσσας μοι πάντα τεῆς ἐνὶ χείρεσι κεῖται.

Σοὶ χάριν ἐξερέω μολπῇ σωσίμβροτε τῇδε,
χριστὲ πολυσπερέων ἀντὶ εὐεργεσιάων,
αὐτῆμαρ ὅσσας μοι ἄφθονον ἐγγυάλιξας.
οὔνομα σὸν πολύσεμνον ἀθέσφατον, οὐκ ὀνομαστὸν
αἰὲν ἐπικλείσω, ὅς ἔχεις μόνος εὐμενὲς ἦτορ,
ψυχοτρόφῳ με βορᾷ δέμας αὐτὸς σοῦ βόσκε βιαρκοῦς,
δός μοι δίψαν ἔχοντι πιεῖν τεὸν ἄμβροτον αἷμα.

Σὸν γὰρ ἅπαν κλέος ἐστὶ μόνον, σέο δόξα καὶ αἶνος,
τιμωρή τε τεοῖς ἐνὶ γούνασιν ἐστήρικται.
εὐλοπίης ἐνστάζε τεῆς γέρας ἄφθονον ἡμῖν,
ὄφρα κεν εὐνάζοι ἡμᾶς νεφέλη θανάτοιο
ἧκα, τεῇ ζαθέῃ παρατύγχανε ἄμμιν ἀρωγῇ,
εἰν ἀπαλεξιμόροις τεύχεσσιν πίστιος ἁγνῆς
ἡμᾶς κόσμησον, ὁπποτὰν ἵνα πανωλετῆρος

κῆλα

κῆλα φικώδεα πάντες ἀμύνωμεν γε καὶ ἔχθραν,

## ΚΕΛΕΥΕΙ ΚΑΤΑΦΡΟΝΕΙΝ ΤΩΝ τῇδε καλῶν καὶ προσδοκᾶν αἰώνια.

## Warumb betrübstu dich mein Hertz/ etc.

Τίπτε φίλη κραδίη σμύχεαι ἀχέεσιν ἀτέρπνοις
πολλὸν ἀνιάζουσα καὶ ἄλγεα λυγρὰ παθοῦσα
εἵνεκα κοσμοχαροῦς πλούτου καὶ ἀγήνορος ὄλβου
εἰς θεὸν ὀλβοδότηρα βιοσσόον ἐλπίδα βάλλοις
ὃς κτίσεν ἅσσα πόλος καὶ ἐείπερος αἶα κέχανδεν.
Οὔσε γὰρ ἐκπρολιπεῖν δύναται, καὶ ἀλεξιμέριμνον
ἣν χέρα τηλόθι σου ἀποστρέψεται ἠδὲ πρόσωπον.
εὖ γὰρ ὅγ' οἶδεν ὅτου ἐπιδεύεαι ἔμφονι θυμῷ
αἰθὴρ καὶ χθὼν οἷς ἐνὶ γούνασιν ἐστήρικται
ἡμέτερος γενετὴρ καὶ δεσπότα πανδυνάστης
ὃς παραμέμβλωκεν μοι ἐνὶ πάσῃσιν ἀνάγκαις.
Αγνὸς ἐπεὶ ὁμὸς ἐστι πατὴρ καὶ δεσπότα μοῦνος
μὴ προλίπῃς τέκνον τὸ τεοῦ χατίζον ἀρωγῆς
μειλιχίκοστε φιλησιγόνου καὶ ἔμπλεος ἦτορ
οἰκτροσύνης, μέρος εἰμὶ βραχὺ πηλώδεος αἴης
οὐδὲ παρηγορίην τιν' ἀκεσσιμέριμνον ἐφευρεῖν
ἐν κόσμου δύναμαι πολυφλοίσβοιο κυδοιμῷ.
Εὐκτέανος πλούτου, ἀνὴρ γεράεσσι πέπριθεν

Αὐτὰρ

Inuitat ad contemptum rerum temporalium & expectationem æternorum bonorū.

Αὐτὰρ ἐγὼμ κόσμου μεγάλου βασιλῆϊ πέποιθα
καί περ ἀτημελίῃσι διακεκραδίοις ἀπιμαθεὶς
οἶδα δέ μιμ ἀτρεκὲς καὶ πείθομαι ἔμφονι θυμῷ
σοὶ πίσυνος στερεῶς χρηΐζει οὐδενὸς ἀνήρ.

Τίς γράφεμ ἠλίαμ θεοπρεσβύτην ἀγορητὴμ
ὁππότε καρποτόκοις ἐδιαίνετο μηδὲμ ἄρουρα
Αὐχμηρὴ ὄμβροις τόσσομ χρόνομ ὁππότε γαίης
κείνης ἐνναέτῃ βουβρώστει τρυσιανείρῃ
τείροντο στυγερῶς τὰ θεήλατα πήματ' ἔχοντες
ἐνναέτις χῆρα Σολὸμ ἀκλήρος ἀρήεις.
ἥντινα πρόσμομ ἔπεμψεμ θεὸς κακὸμ ὀφακ' ἐφωὴμ
λιμοῦ ἀργαλέου καὶ ἀτρόπεος ἐξακέσαιτο.

Τόσσομ ἔτ' ὀλβιοδῶτα πάτερ πλοῦτομ κτεατί-
ὅμ ῥ' εἶχες αἰῶνος ἀτέρμονος ἐξέτι νύσσης (ζεις
σοὶ μὲν ὅλος πίσυνος τελέθω φεσὶμ ἀῤῥηγέεσσιν
πλουτίσσοις κράεσσιν ἐμὴμ βιοδώτορος ὄλβου
ψυχήμ, πανδαμάτωρ τὸμ μὴ χρόνος οἶδε δαμάσσαι
οὐκ ἐπιδευόμενός τινος ἔσσομαι ἐν βιότητι
τῇ νῦμ, καὶ αἰὼμ δολιχόδρομος εἰσόκε μίμνει.

Οἷσιμ ἀεὶ ἐθέλομπερ ἀγάλλετ' ἔξοχα κόσμος
ἀφρονέωμ, τῶμ οὔ τι μεταξέπερμ' οὐδ' ἀλεγίζω,
ἀΐδιομ μοι μοῦνομ ἴδ' ἄφθαρτομ παραβάλλοις
ὅ, τί κε κοσμοβίοισι βροτῶμ ἐκ τήξαο φύλοις
σοῦ δὴ ἀκεσσιμόροιο πάθους πολυπένθιμομ ἄλγος
αὐτὰρ σε ἱκεσίῳ αἰτίζω δέσποτα μύθῳ.

Τυφεδα

τυφεδανῷ πᾶρ ὅτι τετίμηται ἐνὶ κόσμῳ,
ἄργυρον ἢ χρυσὸς δαμασίμβροτος, ἢ πολὺς ὄλβος,
καὶ κτεάνων αὐγὴ ἐρατὴ ὤκιστα ῥεόντων,
πάντα παρακμάζει τάχα καὶ φθινύθει ῥήϊστα,
οὐδὲ γλυκύζωον τι πέλ' ἐς μακαρισμὸν ὄνειαρ.
Σοὶ χάριτας τίνω ῥυσίμβροτε χριστὲ θεοῖο
υἱὲ μεγασθενέτεω, ὅτι σοῦ διὰ ῥήματος ὀμφὴν,
δεξίβιον τῶν γνῶσιν ἐνὶ στήθεσιν ἔγειρας
ἡμετέροις, στερεῶς ὅππως φρεσὶ ταῦτα φυλάξω
ἐς τέλος ἐγγυάλιξον ἐμοὶ πάτερ ὑψιμέλαθρε,
ἡμετέρης ψυχῆς εἰς ἡδύβιον μακαρισμόν.
Σὸν δόξαν τε κλέος τε λιγαίνομεν ἔμφροσιν ὕμνοις,
Ἀντὶ πολυσπερέων εὐεργεσιέων, ἐπειδοῦν
ἡμετέρην ἤσιν βιοτὴν ἐπαρωγὸς ὀνήσας,
καὶ χθαμαλοφροσύνης λιτανεύω ἱκεσίῃσιν,
μή με τεῆς ἀπὸ τῆλε φερεζώοιο προσωπῆς
ἑρπετίνην κακίης φυγαδεύοις ἀξιόποινον,
ἕως αἰὼν ἀπέραστος ἀτέρμονα νύσσαν ἀμείβει.

## ΠΕΡΙ ΤΩΝ ΤΗΔΕ ΑΜΕ- γηνῶν.

## Weltlich Ehr vnd zeitlich Gut/ ꝛc.

De fragilitate & breuitate rerum temporalium

Κοσμοχαρὲς κλέος, καὶ ὄλβου δῶρα ποθεινοῦ,
ἡδοναὶ ἐγγέκακοι, καὶ ἀγηνορίη ὑπέροφρυς

λεπτα-

λεπταλέον διάπλημα μαραίνεται οἷά τε χόρτου.
κοσμὸς ὑπερφίαλος κενεόντ' αὔχημα βίοιο,
ἠΰτε πορφυροειδὲς ἐν εἴαρι ὄλλυται ἄνθος.
τοῦτο μεγ' αὐχήεσσα βροτῶν νοέουσα γενέθλη
εὔφρουρον ψυχῆς κομιδὴν ἄγε σώφρονι θυμῷ.
Νωλεμέως βιότοιο σοὶ ἰνδάλλοιτο τελευτὴ,
φρασσαμένῳ κατὰ θυμὸν, ἐνὶ προθύροισιν ἀπηνὴς
ἑστήκει θάνατος, θήγων ῥιγηλὸς ὄλεθρον
ἐς τεὸν ὀξὺ βέλος, χερσὶν πολεῶνας ἀράσσει,
ἐξιέναι μεγάρων σοι οὐκέτι ἐξυπάλυξις.
εἰ ἀπαθοπραγίῃσιν ἐνὶ πόνον εἶχες ἀμεμφῆ
δέξεαι γηθόσυνος καὶ ἀγλαόδωρον ἄεθλον.
Ταρτάρεον ψυχὴ ὁπόταν ποτὶ δῶμα φορεῖται
σώματε σαρκοφυέσσιν ἔδεσμα μελήρατον σκωλῶν
ἐς φάος ἀνστήσει παλινάγρετον, ἄντα δικαστοῦ
ὄφρα χ' ὑπερδυνάμου λόγον ἐκφανέει περὶ ἔργων,
ὅσσα κάμεν βιότητος ἀπειροθέου ἐνὶ νύσσῃ,
ποίην ἀμμορίης μιν ἀνόλβιον αἶσα κιχήσει,
νῦν ἀπραγμοσύνης ἐν ἀχρηστοπόνοισιν ἐόντα.
Ἔνθα γὰρ ἄτρωτον καὶ ἄχραντον τὸ συνειδὸς,
πάντας ὑπερβαλέει θησαυροὺς, ὅσσα τε θνητοὶ
ὄλβιοι σὺν κτεάνοισιν ἐνὶ μεγάροισιν ἔχουσιν,
νῦν θεὸν ἀνθρώπων πᾶς μισοκακοῦργον ἀρέσσας,
εἶτα συμπαθίαις οὐκ ἐγκύρσει πανοδύρτοις.
ἤδη πανδυνάτοιο θεοῦ βούλημα τελέσσας,

ἡσυχίῃ

ἡσυχίῃ ἕξει φαιδρὴν κεκερασμένον ἦτορ.

Παγκαθαρὸν καὶ ἄσινες ἐπεὶ τὸ συνειδὸς ἄμεινον,
μαρμαρέων λιθάκων, χρυσοῦ ἐγρεσικόμπου,
ᾧτινι ποικιλόδωρος ὀπάζει χριστὸς Ἰησοῦς,
ὃς αἰεὶ κατὰ μοῖραν ἀπειρόκακος πάρα, πάντας
τοὺς γενετὴρ ἀφίησι ἁμαρτάδας ὑψιμέλαθρος,
εὖτε δυηπαθίης ἦν παρμέμβλωκεν ἀρωγῇ,
καὶ οἱ εὐμενέει ὃς θυμὸν ἐνηέα φαίνει.

Οὐ κτεάνων ὄγκος, δυνάμεως οὐκ ὀφρυοέσσης
οὔτις ἀειπρεπίη μόρφης, οὐ θελξιάνειρα,
μαρμαρυγὴ κάλλους εὐειδέος, ἄνδρα δικαιοῖ,
εἰ μὴ εὐσεβέος κραδίη θεοείκελος ἀνδρός,
ζωοφόρου χάριτος κεύθει θεοτερπέα πλοῦτον
πνεύματος ἀγλαΐην τ' ἐρατῇ ζαθέοιο κεκάσθαι,
ἐν χριστῷ κόσμοιο τελεσικάκοιο λυτρωτῇ.

Χριστὸς ἐρεῖ πάντεσσι σοφὸς μινύθει μύθῳ,
Ἀνθρώπων γενεῇσιν ἁπάσαις θεῖα πιφαύσκων,
ὃν συγκοιρανέειν μοι θνητῶν ἵμερος αἱρεῖ,
σταυρὸν ἐγερσιδέκησιν ἐπωμαδὸν αὐτὸς ἀείροι,
οὐκ ἀεκαζόμενος καὶ ὑπ' ἄχθεϊ αὐχένα κύπτοι,
ἡμέτερον παράδειγμα σοφῷ μιμούμενος ἔργῳ,
οὐδὲ φέροι ἐπίηρα κακοῦ παθέεσσιν Ἀδάμου.

Θνητὲ θεάνθρωπον πολυδέρκεο χριστὸν Ἰησοῦν,
εἰς ὅσσον παράδειγμα διδάσκαλον ἔστι νυ σοί γε,
καὶ οἱ ὑπήκοος ἦσθα φρεσὶν χθαμαλοφρονούσαις,

ζεῦγος ἀεξίζωον ἐόντ' ἐθέλοντι κομίζοις,
ἀγγελικοῖσι φάλαγξι πυριχλαίνοισι παρέσῃ
συνναετῆρ', οἷσιν τοῖσδ' αἰεὶ μέμβλετ' ἔργου.
Νειόθεν ἐκ κραδίης κόσμου μεδέοντι πίθοιο,
μνησιθέοις στομάτεσσιν ἐπικλείσοις τε μὶν αἰεί,
τόν τε θεοκράντοισι σοφῶς ἔργοισι γέραιρε,
ἔργμασιν ἐκτελέσας ὥσπερ θέμις εὐκαμάτοισιν,
ὅσσα διδαξήνωρ θεογλώσσου ῥήματος ὀμφὴ
φαίνει, ἧς χάριτος τοῦ τε σοὶ δώροισι μελιχροῖς
ἐν πάντεσσι πόνοισι παρέσσεται ἱλαόθυμος.
Θεσπεσίῃ διδαχῇ στείχοις σύμφωνον ἀταρπὸν,
καὶ θεὸν ἐμμαθέως κλείοις τιμῇσι καὶ αἴνοις,
ἦτορ ὑποκλίνας χθαμαλοφροσύνῃσιν ἀκόμπεις,
κἤπειτε καὶ γλώσσῃ ὕμνισι θεῷ ἀγορεύων.
παγκράντειρα τριάς, μονὰς ἠδ' ἑνὰς οὐπερίληπτος,
σοὶ χάριν ὀφρέω καὶ ἔπαινον σώφροσιν ὕμνοις,
ἐν τῇ νῦν βιοτῇ τε ἀτέρμονας εἰς αἰῶνας.

De vitæ præsentis miseria, de animæ immortalitate, & resurrectione gloriosa.

## ΠΕΡΙ ΟΙΖΥΟΣ ΤΗΣ, ΤΗΔΕ βιοτῆς, τῆς ψυχῆς ἀθανασίας, καὶ τῆς ἀναστάσεως ἐν δόξῃ.

### Nu last vns den Leib begraben/ ꝛc.

Νῦν δέμας ἄψυχον τύμβῳ ἐνὶ ταρχεύσωμεν,
ὅ, ττι κεν ἀμφήριστον ἔολπαμεν ἐν πραπίδεσσιν,

ἀνστήσειν

ἀνστήσειν πήλιγγος, ἀτὰρ νεκρὸς δέγμενος αὖθις,
ἦμαρ ὅτ' ἀντείλειεν ὀπίστατον ἠμερίοισιν,
ἔστε φάος πάλι καινόβιον καὶ ἄσηπτον ὁδεύσειν.

Πηλὸς ἔφυ καὶ ἐκ πηλοῦ πεπλασμένον ἄγγος,
ἔστε παλὶν γαίης μελανειδεῖς βώλακας ἔρρει,
σάρκα παλίνζωον καὶ ἐὴν γαῖηθεν ἀέρσει,
εὖτε θεοῦ σάλπιγξ ἠπύσει ἐγρεσιάνειρα.

Ἀθάνατος ψυχὴ ζωὴν ἀδιάφθορον ἕλκει,
ἐν κόσμῳ μεδέοντι θεῷ γλυκὺν ὄλβον ἔχουσα,
ποίκιον ὅσσ' αὐτὴν δ' ὃν ἑὰ ὑψιγένεθλον,
ἐκ στυγερῆς κακίης, βλαβερῆς τ' ἐρρύσατο λώβης.

Πᾶσα κατηφείη, καὶ ὀϊζύς, πᾶσα μέριμνα,
πᾶσα δυηπαθίη, καὶ ὅσ' αὖ τοι ἤκαχε θυμὸν
εὖ ὄλβον νῦν καὶ πολυμείλιχον εὕρατο τέκμωρ.
ζεῦγος ἀλεξοσόου χριστοῦ ἐκομίσατο πρηΰ,
κάτθανε ἀλλὰ βίον πολυόλβιος εἰσέτ' ἀέξει.

Ψυχὴ ἀθριωκήτος ἔχει βίον οὐ μινύθοντα,
ἀλλὰ λιπόφθογγον δέμας εὕδει ἐγέρσιμον ὕπνον,
εἰσόκε κοσμοβίοισι φανοῖ παυσίχρονον ἦμαρ,
ᾧ τιν' ἐνὶ σ' θεὸς κοσμήσει ἀγλαΐῃσι
εὐπρεπέσιν, καὶ οἱ γάνος ἄφθορον ἐγγυαλίξει.

Ἐν τῇ νῦν βιοτῇ συνοχῇς ἐνὶ θυμοβόροισιν,
ἄλγεα πολλὰ πέπονθεν, ἐν ἐσομένῃ δὲ βιώνῃ,
ἡσυχίην ἕξει, ἐν ἀειπανέσιν θαλίῃσιν.
ἠΰτε πυρσοκέλευθος ἐς αἶαν ἅπασαν ἰάλλων

ἥλιος ἀκτῖνας σελαγευμένον ἡδεῖ λάμπει.
παυσίβιον νῦν ὕπνον ἐάσομεν ἐνθάδ' ἰαύειν
ἀψόῤῥοις ὀπίσω ποσὶν μεταβάντες ἅπαντες
ἐς δόμον, ἀρτύναντες ἐπιφροσύνῃσι καὶ ἡμᾶς,
παμφόντης θάνατος γὰρ ἑοῖς βελέεσσι πελάζει
ἡμετέραις κεφαλῇσι βίου πέρας ἐγγυαλίξων.
Τοῦτο φερέζωος δὲ δίδοίη ὄφρα τελῶμεν
χριστὸς, ὃς ἀμβροσίου διὰ λύθρου ὄμβρον ἐρυθρὸν,
ἔκ τε βίης σατανᾶ ἐῤῥύσατο πανωλετῆρος
ἡμέας, ἔκ τε κακοῦ ποινέων ἀΐδαο φραλγέων,
ᾧ μούνῳ κῦδος δόξα τε καὶ ἀγλαὸς αἶνος.

## ΠΕΡΙ ΖΩΗΣ ΤΗΣ αἰωνίου.

## Hertzlich thut mich erfreuwen/ Die liebe Sommerzeit/ ꝛc.

De gloria vitæ æternæ.

Χαρμοσύνην κραδίῃσιν ἐνὶ νεάτῃσιν ἐγείρει
θελξίνοον, μοι ἡδὺ θέρος καὶ ἐράσμιος ὥρα,
εὖτε θεὸς μεγαδυνάμενος κάλλιστα νεώσει
πάντα πρὸ τιμὴν ἀδιαφθόρον, ὅσσα τέτυκται.
οὐρανὸν ἀστροπέταλον ἰδ' εὐρυθέμεθλον ἄρουραν
ὑψιμέδων ποιητὰ παλιγκτίσσει δυνάμει ᾗ,
κτίσματά τε ξύμπαντα παλαιούμενα βροτοῖσιν,
ἀλφήστῃσι θέημα κλυτὸν δωμήτορος εὖχος,

κάλλο-

καλλοσύνην νεόμορφον ἐπήρατον ἀμφιτανύσσει.

Ἥλιος ὑψικέλευθος, ἐγερσιφαής τε σελήνει,
καὶ ὅσα τείρεα καλὰ διαγλαύσουσιν ὁμίχλην.
μαρμαρυγὴν πέμψουσι πυριγλήνοιο προσώπου
πολὺ φαεινοτέρην, φερεαυγέα, θαῦμα θεᾶσθαι.
καὶ στερέωμα θέημα φαάντατον ὑψικρέμαστον,
ἀγλαΐαις τερπνῆς κοσμήσει δεσπότα κόσμου
παντοτελεῖ δυνάμει μοῦνος τάδε πάντα τελείων,
τοῖσιν ἵν᾽ ἐγγανάοι θεογεννήτων χορὸς ἀνδρῶν.

Τοῖα θεὸς κλυτοεργὸς ἔχων δόμον αἰθέρος ἀ-
κτίσματ᾽ ἐπιστολάδην δυνάμει ἧ πάντα νεώσει, (κρυ-
κάλλεσιν εὖ πρεπέεσσιν ἀκοντίζοντα γαλήνην
φαιδροφαῆ, καὶ γῆθος ἀτερπνείοντα θαλυκρὸν
καλλοσύνης, λιθακέεσσιν, ἰδὲ χρυσοῦ εὐμόρφου
ἀγλαΐη, κόσμος γανυρώπιδι καλλιθέμεθλος
φαιδρώσει μέροπας, καὶ μάρμαρον ἔνθα καὶ ἔνθα
ἀστράψει ἀνὰ γῆν τε καὶ αἰθέρα χρυσόστικτον.

Πάντα λόγον καὶ πάντα νόον μερόπων ὑπεραίρει,
ἐσσομένη μεγαλοπρεπίη, μάλα δυσπερίληπτος,
οὐδέ τις οἱ δύναταί τι βροτῶν κλέος ἰσοφαρίζειν.
οὐ γὰρ ἔφυ περίγραπτος ἔπεσσιν γλωσσολαλήτρις.
τοὔνεκα χρὴ τάδε πάντα παρελθεῖν σώφρονι σιγῇ,
εἰς χρόνον ἐσσομένης πυματόδρομον ἠριγενείης,
εἶτα δὴ ὀφθαλμοῖσιν ἐνωπαδὶς ἀγλαοκύδους
ὀψόμεν ἡμετέροισι θεοῦ μεγαλοκρατὲς εὖχος.

Αὐτίκα γὰρ σύμπαντας ὅσους χάδε γῆ πουλόβοσκος
σαρκὸς ἄτερ βροτέης αὖθις γεγαῶτας ἐγέρσει
ἐκ τύμβων, σάλπιγγα διὰ ψυχωσιάνειραν
ἥντε διὰ γῆα θεκήνορα χριστὸν Ἰησοῦν,
Ἀμφιβαλῶν πάντεσσι νεόζωον πάλι σάρκα,
εἰς παναλωφήτου βιοτῆς ὑψαύχενα τιμὴν,
Ἀμπετάσας θησαυρὸν ἀπείριτον ὀλβιοθύμου
ἀϊδίου θεράπεσσι θεοῦ ἱεροῖς μακαρισμοῦ.

Καὶ βιοτὴν πάντεσσιν παλίνζοον ἄμμιν ὀπάσσει,
καὶ περὶ σῶμα τρίχας τε πάλιν καὶ δέρμα τανύσσει
παντελέως, ὅ, τ' ἔπος τοι οὐκ ἀπατήλιον ἐστί.
λαμπρωνέει ψυχήν τε δέμας τε καὶ ἅψεα φαιδρά,
Ἀμφιχέων αἴγλην τοῖσιν φοιβηΐδος αὐγῆς,
γηθοσύνην κραδίαισιν ἐνὶ καὶ τέρψιν ἀνάψει
εὐσεβέων, καὶ πάντα χύδην πάντεσσιν ὀρέξει.

Ἀγγελικῆς δὲ φάλαγγος ἅμα φλογοειδέα πέμψει,
Ἀντόμενον πολὺν ἐσμὸν ὅλῳ θεοπειθεῖ λαῷ,
ὃς δ' ἐὴν ἀπάτην στερξήνορα, ῥύσατο κόσμον,
δέξεται ἀσπασίως τε νόῳ χαίροντι πρόπαντας,
πλήθει σὺν μεγάλῳ ἐρικυδέων οὐρανιώνων,
οἷσι καὶ ἀμφιχυθεὶς προσπτύξει ἀγκαλίδεσσιν
ἡμέας, ὅ, τι πόνος μέγ' ἐνὶ στήθεσσιν ἐγέρσει.

Ἔνθα δ' ὑπερβολάδην νέαιρον κεχαρηότες ἦτορ,
ἠμβρίων σωτῆρος ἀθρήσομεν ἔξοχον εὖχος,
ὅσκεν ἐὴν διὰ πᾶσιν ἀναίτιον, αἵματι θεῖον,

πᾶσιν

πᾶσιν εὐκλήστοιο θύρας ἀνέῳξεν ὀλύμπου,
πατριαρχέων τε κλυτῶν θεοείκελον, ἠδὲ προφητέων
σύλλογον ἀντιθέων, καὶ μάρτυρας ἀγλαοδώρους,
καὶ θεοπρεσβυτέων λαὸν καθαρόφρονα φωτῶν
ἄσπετον ἠΰτε φῦλλα θέρευς καματώδεος ὥρῃ.
Ἔνθα κεν ἀντιόωντες ἀμοιβαδὶς ἡδυπρόσωποι,
ἡμέας ἀσπάσονται ἅπαν κέαρ ἀμφιπανῶντες,
οἷα κασιγνήτους ὁμοηθέας, οὐδέ τις αἰδὼς
θυμὸν ἐνὶ στήθεσσι σωφροσύνης ἀπερύξει
ξυνοδόμου αὐτοῖσι καὶ ἡδυνόου ὀαρισμοῦ,
δεξιτεροὶ χριστῷ τε παρεστάοτες πολυσέμνῳ,
θνητοφυοῦς βροτέης πεπυκασμένῳ ἔργμασι σαρκὸς,
προπροκυλινδόμενοι μιν προσκυνήσομεν εὐχαῖς.
Καὶ τότε δεξιτεροῖσιν ἔπος γλυκύφωνον ἐνίψει,
ἐκχεύας στομάτων μελιξιάνδραν ἰωήν.
Δεῦτέ μοι εὐσεβέων λογάδες στίχες ἀγλαοδώρων,
Δεῦτε καλέος πρὸς ἐμὸν, καὶ ἡσυχίην πολύολβον,
κλῆρον ἀνακτείης ἐριτίμιον ἐγγυαλίξω
ὔμμιν ἐγὼν γενετῆρος ἐμοῦ μεταδωσαμένοιο,
δῶρον ἐμοῖο διὰ πεφορημένον ἔξοχον ἡμῖν,
τοὔνεκα κληρονόμοι καὶ κτήτορες ἐστὲ πρὸ πάντων.
Αὐτὰρ ἔπειτα θεὸς κρινέει καὶ ἔκφονα κόσμον.
ἰθείῃσι δίκῃσιν ὁρῶν εἰς ἔργ' ἑκάστου,
μισθὸς ἀλιτροσύνης καταδάψει οὐλομένη φλὸξ,
λαὸν ἀτασθαλέοντα πολυκλαύθμοιο γεέννης,

Δαίμονα θνητολέτην αὐτοῦ τε διάκτορον ἐσμὸν
λαὸν ὑποκειτέων, τὸν ψευδώνυμον ἔθνος Ἰησοῦ,
εἰς αἶσχος καὶ ὄνειδος ἀθέσφατον ἔνδικα νείμας
οἷσι κατακεινέει ὀρθὰς βουλῇσι θέμιστας.
Ἀλλά τε δεινοκόρισιν ἐνὶ φρεσὶ μῆνιν ἐλίσσων.
σμερδαλέον κλάγξει ἐνοπὴν ῥιγηλὸν ἀκοῦσαι,
Ἀγχι παρεισταμένοις λαίῃ παρὰ χειρὶ κακούργοις.
ἔῤῥε κατάκειτον ἔθνος, ἀπόπροθεν ἔῤῥε προσώπης
ἡμετέρης, ποτὶ φλογμὸν ἀειμαλεροῖο γεέννης
ἔῤῥεσι δήρεα δεσμὰ ποτὶ σατανᾶο βιαστέω
ἔστε μελανταχῆ οἶκον θανάτοιο καὶ ἀχλύν.
Οὕτως ἐξερύσει δυνάμει ἧ ἄμβροτος ἀρχὸς
πάντας, ἀναγκαίης στυγερῆς βιότου ἀμενηνοῦ,
καὶ ἡμέων ἀπὸ τῆλε βαλεῖ ζοφόεντας ἀπειλὰς
δαίμονος οὐλομένας, συνοχήν τε καὶ αἶσχος ἀεικές,
καὶ πένθος βαρύθυμον, ἰδ' ἀλγεσίδωρον ὀδυρμόν.
ἠδὲ νοσηλείην φθισίμβροτον, ἄλγεά τ' αἰνά,
καὶ τῆξι κραδίον θρῆνον, τακεράς τε μερίμνας,
καὶ ὅσα τρύχουται βιοτὴν κακὰ πήματα θνητῶν.
Εἶτα βροτῶν τὸ φάος σωτὴρ θεόδωρος Ἰησοῦς,
Αἰθέρος εἰς μεγάλου καταναίεται πανδόκον οἶκον,
κύδει σὺν πολλῷ καὶ ἐγερσιγανεῖ ἀλαλητῷ,
νύμφην ἱμερόεσσαν ἑὴν θεοπειθέα λαόν,
ἠθόσυνος σφετέροιο ποτὶ στεροπηβόλον ὄψιν
πατρὸς ἄγων, ἤδιστα γαληνιόωντι προσώπῳ

εἰσορ'

ὅσσ' ἐπιμηδιόων μειλίξει πάντας, ἰδ' αὐτοὺς
κοσμήσει χαρίτεσσι καὶ εἴδεσιν ἡλιομόρφοις,
καὶ μύρου χεύσει λιπαροῦ θυόεντος ἐέρσῃ,
κόσμον τε πάντεσσι περὶ μαρμαροφεγγέα θήσει.

Νύμφιον ὀλβιόγαμβρον ἄναξ γαίης τε καὶ ἀστερῶν,
εὐπρεπέεσσιν ἔσσει κοσμήμασιν οἷσι καὶ ἁγνοῖς,
χρυσῷ τε στιλπνῷ, καὶ λεπτοῖς νήμασι Σηρῶν,
φοινικόεντα χιτῶνα κατάστικτον μέγα θαῦμα
σώματι ἀμφιβαλεῖ ἐρατῷ, καὶ δακτυλιώτῃ
πόρκην χρυσόδετον Φοίβου μίμημα φαεινοῦ,
πιστὸν ἀμερτοβαθοῦς ἔμμεναι φιλότητος ὅμηρον,
εὐδυκέως πάσας καὶ ἀμαρτάδας ἀμφικαλύψει,
ὄφρα κεν ὀφθαλμούς τε φένασσε λαθοῖεν ἀπάντων.

Ἀγχιμολῶν τε πρόπασιν ἑοῖς παλάμῃσι κάρηνα
χρυσείαις στέψει ζαθέης διαδήμασι τιμῆς,
μείλιχον οὓς ἡμᾶς ἐναγκαλίσας πολυσέμνους,
Ἀμφιχυθεὶς παλάμῃσιν ἑοῖς στήθεσσι πιέζων,
θελγόμενος περίαλλον ἑῆς φιλότητος ἐρωῇ,
σῶμά τε καὶ ψυχὴν θεοείκελον ἔμφροσι δώροις
κυδανέει, χαρίτων ἐνστάξας εὐκλέα μορφήν.

Χάρματι σὺν μεγάλῳ προσοδοιπόρος ἄμμε κα-
οἶκον ἐς ἠλώει δὴ ἀειθαλεροῦ παραδείσου, (τάξει,
ἐς γάμον ὀλβιόθυμον ἰδ' ὃν κλέος ἀφθιτοκυδές,
ἔνθα δ' ἐγεσιγέλωτος εὐφροσύνης φίλον ἦδος,
σὺν γλυκερῇ ἀγάπῃ καὶ ὁμοφροσύνῃ πολυτέρπνῳ,

Ἀνδράσιν εὐσεβέεσσιν ἀπεστάζει θεότητος
πανδαμάτου, πηγῆσιν ἀειλιβέεσσιν, ἑκάστου
τεγγομόνης κραδίην γανυρὴν ἀπάτερθε τελευτῆς.
Νευρολάλου φόρμιγγος ἐκεῖ τε μελίβρομος ἠχὼ,
κηλήσει κραδίας τιθυείσμασιν ἡδυθρόοισιν.
εὖτε θεῷ γλυκὺ γῆθος ἐγέρσει μουσικὸς ὀμφῆ,
ἢ καὶ μελισταγέεσσι φωνὰς θέλγουσα ῥιπῆσιν,
πυρσοβόλοι τριάδος τε διάκτορες ἀγγελιῶται.
Ἀνδράσιν εὐαγέσιν σὺν ὁμιλαδὸν ἱμερόεσσαν
εὐφήμοιο φάρυγγος ἀποχύσουσιν ἀοιδὴν,
ἐν πυρσοζώστοισι θεοῦ μεγάλοιο μελάθροις.
Οὐ γὰρ ἀνὴρ ἀκοῇσί τις ἔκλυε μυθοδόκοισιν,
οὐδέ τις ὀφθαλμοῖς παπτήνατο φεγγοβόλοισιν.
χαρμοσύνην ἀμέγαρτον ἀνεκφάστου διαγωγῆς,
ἣν θεὸς εὐσεβίης καθαρὴν πατέουσιν ἀταρπὸν
ἤρτυνεν μερόπεσσιν, οἳ ὑψιμέδοντος ὀπωπὴν,
ὄμμασι φαιδροτάτοισιν ἐνωπαδὶς αὐγάσσονται
φέγγος ἀειλαμπές, καὶ ἐτήτυμον, ἄσπορον αἴγλην
πεμπόμενον ἄνδρεσσι σέβας μέγα χριστοφίλοισιν.
Οὕτως πανσθενέτης πληρώσει δεσπότα πάντα
ᾗ δυνάμει μεγαλειπόνῳ, καὶ ἀμεμφεῖ βουλῇ.
πάντα τε πᾶσιν ἐνὶ διὰ πνεῦμα θεουδὲς ἐσεῖται.
καὶ αὐτὸν δώσει ἴδιον κτέαρ εὐσεβέεσσιν,
πάντας θησαυρούς τε κεκρυφότας ἀφθονοδώρους
ἀμπετάσει κατὰ μοῖραν, ἑὸν διὰ υἱέα χριστόν.

Δρέψομεν ἤματα πάντα, σὺν ὑψιθρόνῳ θεότητι,
εἰλαπίνην ἀβρωτὴν ἐχεζώοιο τραπέζης,
σῖτον ψυχοβοτῆρα, καὶ οὐ φθινύθοντα, θεοῖο
χρυσείου ὀρόφοισιν ὑπ' εὐσκήνεσσι μελάθρου.
Ἀμβροσίου καρποῦ πολύολβοι δαιτυμονῆες,
πρέμνου ζωοδοτῆρος ἀπωπόρου ἐξαρύοντες
καλλινάου κρήνης ἀφοντίστοιο διαίτης
σὺν βασιλεῖ μελίφυρον ἀεὶ πόρον ὑψιμέδοντι.
Ὦ, τῷ κεν ἡμετέρῃσι φίλον καὶ ἡδὺ τέτυκται
φρεσὶ, καὶ ὧν πάντων τοι θυμὸς ἐέλδεται ἀνδρῶν
πᾶσι χύδην μακάρεσσι παρέσσεται ἡδυβίοισιν.
τούνεκεν ἐν πραπίδεσσι χαρησόμεθ' ἡμετέρῃσιν,
ἐμμελέως λιγυροῖς θεὸν ὑμνήσαντες ἀοιδαῖς,
Ἀλλήλους τ' ἐτύμῳ φιλίης προσπτύξομεν ἀρθμῷ,
μειλιχίης προτὶ πάντας εὐφροσύνης τε γέμοντες.
Καὶ προπάροιθε θεοῖο θρόνου φλογεροῖο καὶ ἕδρας,
ἐμμελέως κρεγμοῖς μελιτερπέσι ἡδυμόφωνον
γηθόσυνοι πάντες γηρύσομεν ἀοιδήν.
Δόξα, κλέος, καὶ ἔπαινος, ἰδὲ κράτος ὑψικεραύνῳ
ἀϊδίῳ γενετῆρι, καὶ υἱεῖ παρθογενήτῳ.
θεσπεσίου πνοιῆς καὶ ἔργμασιν ἀμβροσίοισιν,
ἡμετέροις αἰνοῦντε χέοντε λιγαίνομεν ὕμνοις.
Τούτῳ ἀγαλλόμενοι θυμῷ παιήονι φαιδρῷ,
παντοτρόφου κόσμου ἐπικλείσομεν ἁγνὸν ἄνακτα,
ᾧ τινι χριστοσεβέων ἀνδρῶν στίχες οὐρανοτερπεῖς

πίστευσιν

πίσυσιν χάριτας θεοτερπέας, εὔφονι φωνῇ.
χαρμοσύνῃ μερόπων ἐς ἀεὶ κέαρ εἰκελοχείστων
πολυγανὲς θρέπτει, δεδονημένον οὐδὲν ἀνίαις.
οἷσιν ὑπερβάλλουσα βροτῶν, πᾶσάν τε νόησιν,
πλειοτέρῃσι ῥοῇσι θεοῦ ἄπο μακρὰ ῥέουσα.

## Conclusio.

Ομφήεντος ἄπο πευχέω γανυρηχέα μολπὴν
γηθόσυνος στόματος, τήνδ' ὁρμαίνων ἐνὶ θυμῷ
χαρμοσύνην, ζωῆς θεοδωρήτοιο, καὶ εὔχους,
καγχαλάα φίλον ἦτορ ἐμοὶ τερψίφονι γήθει,
καὶ νόος ἠερίην ταχινῶς διαπέπταται αἴγλην
ἐκ μογεροῦ κόσμοιο μετήορος, ἐς βίον ἄλλον
ἔνθεν ἐπειγόμενος μέγ' ἀρείονα πολυπόθητον.
κόσμον ἀτιμάζων καματώλεα συρφετὸν αἴτου.
Τοὔνεκεν ἐλπωραῖς τερπώμεθα ἦτορ ἀείσαις,
νῶι δυπαθίῃσιν ἐνὶ στυγερῇσιν ἐόντες,
κόσμος ἀταθάλλων οἷς σήματα πολλὰ κορύσσει,
καὶ φθονέει ἀλίαστον ἀεὶ στυγερόφονι θυμῷ
ὄφακ' ὀδυρμοφόρου σταυροῦ φορέοιεν ἐπ' ὤμοις
ἄχθος ἐν ἡσυχίῃ βελαρὸν τετληότι θυμῷ,
ῥήμασιν ἀμβροσίοις πίσυνοι μεγάλοιο θεοῖο,
θυμὸν μικροφονεῦντα παρηγορέοντες ἐς ἀλκήν.
Κτήσασθαι ποθέων ἀνὴρ ὑψίθρονον ἀρχὴν

δώματος

δώματος ἀστεροφόροιο, καὶ ἀγλαὰ δῶρα θεοῖο,
κεῖται ἀτιμελίῃσιν ἐνὶ πολλῇσι καὶ ἄταις
ἐν κόσμου πινόωντος ἐχεθρήνοισι βερέθροις,
τοῦτο δὲ θαρσύνοι καὶ ἐρείδοι σώφονα θυμὸν
εὐσεβέων, νέφος ὅττι πολυκλαύθμοιο κακοῖο
οὐ πουλυχρόνιον, φανέει ἐπεὶ αὐτίκα θνητοῖς
παγγενέτωρ, ἄλκαρ πέλει ἐγγύθι οὐρανόδεικτον.
Νῦν δὲ κακοπρηκτῆρος ἀλιτρογενεῖα γενέθλη
κόσμου, ὑποκείνοιτο, καὶ ὑψιθόωκον ἄνακτα
ἧς μυκτηρίζοι ἀνόμοισιν ἀλιτροσύνῃσιν,
ὃς ὕβρει στυγερῇ θωπεύμασιν εἵνεκα κερδέων
δουλεύοι, σοφίῃ τ' οἱ δαίνοι αὐτοδιδάκτῳ,
λαίφεά τε πυκινῆς εἰς εὐρυπνέοντος ἀήτεω
ἀμπετάσοι λαιψηρὸν ἐπηλυσίην κατὰ μοῖραν,
νῆα παρεξελάοι τε ἑκούσιον ἀτραπίτοιο
ἀτρεκίης, ὥσπερ φανερὸν πάντεσσι τέτυκται.
Ἄγρια ὃς κόσμος μαίνοιτο, κακόφρονι λύσσῃ,
καὶ ταχέσιν βαθμοῖσιν ἁμαρτάδος οἶμος ἐσέλθοι,
αἰθέρος ἀστερόεντος ἔχει δόμον ὑψιμέλαθρον,
ὄμβριμος ἀλκήεις τε θεὸς σθένος οὐδενὶ εἴκων,
ἐξαπίνης μερόπεσσι χαμηλοβίοισι πάρεσται
γηγερέων πᾶσιν τιμήορος ἐχθροθέοισιν,
πᾶσαν ἀλιτροσύνην στυγέων, ὃς πάντα δικάζων,
καὶ κεφαλῆς ἤδη ὑπὲρ ὄρνυται ἐγγύθεν ἐλθών.
Νύμφιος ὑψιγένητος ἐνοικητῆρας ἀρούρης

νυμφί-

νυμφίδιον ποτὶ δαῖτα καλέσσει αὐτίκα πάντας
Ἀλλὰ θεὸς φαέων ἀμῶν ἀτὲρ νῶκαρ ἀλάλκος
ὑπνηλόν, στυγερῆς ἐν ἀμαρτάσι κοιμηθέντες
ὄφρα κεν οὐ κνώσσωμεν ἀνίγρετοι, ἀλλὰ χέρεσσιν
λαμπάδας ἡμετέρῃσιν ἐπαρτέας αἰὲν ἔχωμεν
λαμπρύζας αὐγῇ, ἵνα μὴ παρεόντος ἐλαίου
σῆς αἰσχρῶς ἀπὸ τῆλε διωκώμεσθα προσόψεως. (σφ,

Ἀπροϊδὴς βασιλεὺς τάχα δαιτυμονεῦσι πελάσ-
δαιτὶ παραυδριόωντας ἐσοψόμενος στίχας ἀνδρῶν,
Αὐτὰρ ἀφωκήτου δεσμοῖσι δὲ θέντα σιωπῆς,
ἔνθα δὲ πήματα πολλὰ καὶ ἄλγεα λυγρὰ κιχήσει,
δὸς θεὸς ἀμφίβλημα γαμοπρεπὲς ὄφρα κε πάντες
εἱμένοι, ἀγνὴν δαῖτα μετερχώμεσθα γάμοιο.
πίστιν ἀειτεθαλυῖαν ὑπὸ φρεσίν, ὄφρ' ἀζόμενοι
σοι μυθιζώμεσθα λόγῳ παντ' ἐξερέοντι.

Κοίρανε μουνοσέβαστε, τεὴν δὲ μειλιχόδωρον
εὐμενίην, εἴσαξον ἀταρπιτὸν ἡμέας ὀρθήν.
Χριστὲ τεὴν ἄλκτειραν ὑπέρχες ἄναε χεῖρα
ἄμμιν, ἵν' οὐ πελάσοιμεν ἀλημοσύναις βλαβερῇσιν.
πίστιν ἐνὶ πραπίδεσσιν ἄεξε καὶ ἡμετέρῃσιν,
ὕβριος εἰν τούτῳ στυγερῆς αἰῶνι γέμοντι,
ὄφρα κεν ἀρτύνωμεν ἀεὶ ψυχήν τε δέμας τε
εὐόλβοιο γάμου ὥρην πρότι ἱμερόεσσαν.

Γλῶσσά μοι εὐκελάδοιο δρόμου λώφησον ἀοιδῆς,
Αὐτίκα ἡβήσει θέρεος γλυκυειδέος ὥρη,

Ἀνθεσιν

Ἄνθεσιν ἀμβροθαλλὲς ἐπιστέψαις προσώπων,
γνώσατε οὐ φθινύθουσαις φανεῖ λυκάβαντος ἀλλήκτου,
δὸς καὶ τὴν λυκάβαντος ἐκείνου ἰμβρόσιντος
ὄφρα κεν ἤματα πάντα δρέπωμεν ἀκηλεῖ θυμῷ.
Ἀμήν. ἐκτελέοιτο πρόπαντα κατὰ τόδ' ἐέλδωρ.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0169

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0170

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0171

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0172

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0173

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0174

154707
(X2204319)

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0175

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0176

# ΚΑΤΗΧΗ-
# ΣΙΣ ΛΟΥΘΗΡΟΥ
## Η ΜΙΚΡΑ.

*Paruus Catechiſmus Lutheri,*
*Carmine græco heroico redditus.*

Item,

Odæ quædam ſiue Cantiones germanicæ Lutheri, & aliorum quorundam piorum virorum, eodem genere carminis expoſitæ.

Inches 1 2 3 4 5 6 7 8
1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 16 17 18 19
Centimetres
Farbkarte #13
B.I.G.
Blue Cyan Green Yellow Red Magenta White 3/Color Black

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-24587/fragment/page=0177